НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

# ἘΓΧΕΙΡΊΔΙΟΝ

ΠΕΡῚ ΤΗ͂Σ

ἘΠΑΡΧΊΑΣ

ΦΙΛΙΠΠΟΥΠΌΛΕΩΣ,

ἢ

ΠΕΡΙΓΡΑΦῊ ἈΥΤΗ͂Σ

συντεθεῖσα

ὑπὸ

τȣ̃ αἰδεσιμολογιωτάτȣ Οἰκονόμȣ

Κυρίȣ

ΚΩΝΣΤΑΝΤΊΝΟΥ

Ἱερέως Φιλιππȣπολίτȣ,

καὶ ἐκδοθεῖσα δαπάνῃ τȣ̃ Πανιερωτάτȣ

ἁγίȣ Φιλιππȣπόλεως

Κυρίȣ Κυρίȣ

ΠΑΪΣΊΟΥ.

ἘΝ ΒΙΈΝΝῌ ΤΗ͂Σ ἈΟΥΣΤΡΊΑΣ

παρὰ τῷ Τυπογράφῳ

Δημητρίῳ Δαβιδοβίκῃ.

1819.

НБ ОНУ імені І.І.Мечникова

Ἡ μέντοι χωρογραφία, περιήγησις μέν ἐστι καὶ αὐτὴ, καὶ περίοδος γῆς, καθὰ καὶ ἡ γεωγραφία, πλὴν οὐχὶ τῆς ὅλης, ἀλλὰ μέρους τινὸς αὐτῆς, καὶ ὡς εἰπεῖν χώρας, ἢ χωρῶν, ἢ χωρίων τινῶν.

Εὐστάθ. ὁ Θεσσαλ. ἀρχιεπ.
ἐν τῇ πρὸς Λοῦκαν ἐπιστολῇ.

142

Наукова бібліотека
Одеського національного
університету
імені І. І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

Τῷ Πανιερωτάτῳ, καὶ Θεοπροβλήτῳ

ΜΗΤΡΟΠΟΛΙΤῌ

τῆς ἁγιωτάτης μητροπόλεως

ΦΙΛΙΠΠΟΥΠΟΛΕΩΣ,

Ὑπερτίμῳ καὶ Ἐξάρχῳ

Θρᾴκης Δρογοβιτίας, τῷ Σεβασμιωτάτῳ μοι Αὐθέντῃ καὶ Δεσπότῃ

ΚΥΡΙῼ ΚΥΡΙῼ

ΠΑΪΣΙῼ.

НБ ОНУ імені І.І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

Χρέος καὶ δέος, Πανιερώτατε Δέσποτα, ἐπὶ πολὺ ἀντεμάχοντό μοι τῇ παρούσῃ ἐγχειροῦντι τῆς ὑμετέρας Ἐπαρχίας περιγραφῇ· Τὸ μὲν γὰρ δουλικὸν πρὸς σὲ τὸν πανσέβαστόν μου Δεσπότην χρέος ἐκ πρώτης μ' ἔπειθεν ἀρχῆς μὴ πρὸς ἄλλον ἐκτὸς σοῦ ποιῆσαι τοῦ Ἐγχειριδίου μου τούτου τὴν ἀφοσίωσιν· Αὐτὸς καὶ γὰρ νεύσει τοῦ

НБ ОНУ імені І.І.Мечникова

κρείττονος Πατὴρ ἐν Χριςῷ, καὶ Ποιμὴν κατὰ πάντα χριςομίμητος ταυτησὶ τῆς Ἐπαρχίας εἶναι κεκλήρωσαι. Ἔνθεντοι καὶ προνοεῖς ἑκάςοτε ἐμφρόνως τὴν τῶν λογικῶν σου προβάτων βελτίωσιν, ποδηγετῶν ἡμᾶς ἅπαντας ἐπὶ νομὰς σωτηρίους, αἳ κατὰ τὸν διπλοῦν ἡμᾶς ἄνθρωπον ἀπαρτίζουσι. Δέος δέμε κατεῖχε καθορῶντα τὸ ἀ-

НБ ОНУ імені І.І.Мечникова

νάθημα λιτὸν ὂν πάνυ ϗ ἀνάξιον, μὴ ὅτι γε τῷ ὑμετέρῳ Πανιέρῳ σηκῷ ἀνατεθῆναι, ἀλλ᾽ ἐδ᾽ εἰς ὄψιν τῆς ὑμετέρας Μεγαλοφυΐας ἐλθεῖν. Ἀναλογιζόμενος μέντοιγ᾽ ὡς ὁ Δεσπότης μου, οἷα Πατὴρ ἐν Χριςῷ, θᾶττον προσίεται τὰ ψελλίσματα τῶν οἰκείων τέκνων, ἢ τὰ τῶν ἀλλοτρίων λαρυγγίσματα, θαῤῥήσας μικρὸν, μετ᾽ εὐλαβείας ἄκρας

НБ ОНУ імені І.І. Мечникова

τοῦτο προσφέρω τῇ Ὑμετέρᾳ Πανιερότητι· ὅπερ δέξαιο εὐμενῶς, καὶ παράσχοις μοι τὰς Θεσπεσίας σου εὐχὰς καὶ εὐλογίας ἀφθονοπαρόχους πρὸς σωτηρίαν.

Ἐν ἔτει σωτηρίῳ ᾳωιθ΄. ἐν μηνὶ Μαΐῳ.

Τῆς Ὑμετέρας Θεοπροβλήτου Πανιερότητος
ὁ ταπεινὸς δοῦλος
Οἰκονόμος Κωνσταντῖνος Ἱερεὺς
Φιλιππουπολίτης.

НБ ОНУ імені І.І. Мечникова

## Περιγραφὴ τῆς Ἐπαρχίας Φιλιππουπόλεως.

§. α΄. Ὅςτις μὲν ἔχει σκοπὸν ἵνα γράψῃ ὑπόθεσιν μερικὴν, πρέπον ἵνα φανερώσῃ τὸ ὅλον ταύτης τῆς ὑποθέσεως πρότερον· διότι ὁ λόγος τοιουτοτρόπως γίνεται σαφέςερος. Ἐπειδὴ δὲ ὁ παρὼν λόγος ἐςὶ περὶ τῆς Ἐπαρχίας Φιλιππουπόλεως, ἥτις εὑρίσκεται ἐν τῇ Θρᾴκῃ, καὶ ἔςι μέρος τῆς Θρᾴκης, ἀναγκαῖόν μοι φαίνεται ὀλίγα πρῶτον περὶ τῆς Θρᾴκης εἰπεῖν.

§. β΄. Ἡ Θρᾴκη, ἡ καὶ Ῥωμυλία, καὶ Ῥούμελι κοινῶς καλουμένη φαίνεται κατὰ τὸν Ἰώσηπον, ὅτι ἔλαβε τοῦτο τὸ ὄνομα ἀπὸ τοῦ Θείρα, τοῦ πρώτου οἰκιςοῦ αὐτῆς· ὅςτις ὄγδοος

НБ ОНУ імені І.І. Мечникова

μὲν υἱὸς ἦν τοῦ Ἰάφεθ (α) ἔγγονος δὲ τοῦ Νῶε. „Θείρης δὲ Θείρας ἐκάλεσεν ὧν ἦρξεν, Ἕλληνες δὲ αὐτοὺς Θρᾶκας μετωνόμασαν. Ὠνομάσθη δὲ καὶ Σιθὼν, ἴσως ἀπὸ τῆς Σιθωνίας χώρας τῆς Βυζίης, ὅπου τὸ παλαιὸν οἱ Βασιλεῖς αὐτῆς εἶχον τὴν κατοίκησιν.

§. γ΄. Τὰ ὅρια ταύτης, κατὰ τὸν Ἡρόδοτον, τὸ πάλαι μὲν ἦσαν πλέον ἐκτεταμμένα· τὰ νῦν δὲ περιορίζεται ἡ Θρᾴκη ἀπ' ἀνατολῶν μὲν ὑπὸ τοῦ Εὐξείνου Πόντου, ἤγουν τῆς Μαύρης Θαλάσσης, καὶ τοῦ Θρᾳκικοῦ Βοσπόρου (β)· ἀπὸ νότου δὲ ὑπὸ τῆς Προποντίδος, ἥτις καὶ θάλασσα καλεῖται τοῦ Μαρμαρᾶ, ὑπὸ τοῦ Ἑλλησπόντου (γ) καὶ τοῦ Αἰγαίου Πελάγους,

---

(α) Υἱοὶ Ἰάφεθ· Γάμερ, καὶ Μαγὼγ, καὶ Μαδαΐ, καὶ Ἰωυὰν, καὶ Ἐλισὰ, καὶ Θοβὲλ, καὶ Μοσὸχ, καὶ Θείρας. „Γένεσις Κεφ΄. ί.

(β) Ὁ Θρᾳκικὸς Βόσπορός ἐστιν ὁ λαιμὸς, ἤτοι τὸ στενὸν τῆς θαλάσσης τὸ συνέχον τὴν μαύρην Θάλασσαν μετὰ τῆς θαλάσσης τοῦ Μαρμαρᾶ.

(γ) Ὁ Ἑλλήσποντός ἐστι καὶ αὐτὸς λαιμός, ἤτοι στενὸν μέρος τῆς θαλάσσης μεταξὺ τῆς θα-

ὃ καλεῖται ϗ Ἀρχιπέλαγος· ἀπὸ δὲ δυσμῶν, ὑπὸ τοῦ Παγγαίου ὄρους, δι᾽ οὗ χωρίζεται ἀπὸ τῆς Μακεδονίας· ϗ ἀπὸ βορέως ὑπὸ τοῦ ὄρους Αἵμου, ὃ τουρκιστὶ καλεῖται Κοτσᾶ Μπαλκὰν, ϗ χωρίζει αὐτὴν ἀπὸ τῆς Βουλγαρίας.

§. δ΄. Διαιροῦσι δὲ τὴν Θράκην αὐτὴν οἱ μὲν Γεωγράφοι κατὰ τὰ τέσσαρα μέρη τοῦ κόσμου, ἤγουν εἰς Θράκην δυτικὴν, τὴν μεταξὺ τοῦ Παγγαίου ὄρους, ϗ τοῦ ὄρους Ῥοδόπης, ὃ καλεῖται Δοσπάτ, Γιαϊλᾶς. Εἰς Θράκην νότιον, τὴν πρὸς τὸ Αἰγαῖον Πέλαγος· εἰς ἀνατολικὴν, τὴν πρὸς τὸ Βυζάντιον, ἤγουν τὴν Κωνσταντινούπολιν· ϗ βόρειον, τὴν πρὸς τὸν Αἷμον, (Πίν. Α΄.) Οἱ δὲ Ἐκκλησιαστικοὶ διάφορον αὐτῆς ποιοῦσι τὴν διαίρεσιν· ὅθεν ϗ ἐπιδιαιροῦσιν αὐτὴν εἰς τὰς ἑξῆς Ἐπαρχίας, αἵ τινες ϗ περιέχονται ἐν αὐτῇ· ϗ ἀπ᾽ ἀνατολῶν μέν ἐστιν ἡ Κωνσταντινούπολις, ἥτις ϗ μήτηρ ἐστὶ πασῶν τῶν Ἐκκλησιῶν τοῦ ἀνατολικοῦ δόγματος, ϗ ἕτεραι πέντε Ἐπαρχίαι, αἱ πρὸς τὸν

---

λάσσης τοῦ Μαρμαρᾶ, ϗ τοῦ Ἀρχιπελάγους, ἤγουν τῆς ἄσπρης Θαλάσσης.

НБ ОНУ імені І.І. Мечникова

Εὔξεινον Πόντον· ἤγȣν οἱ Δέρκοι· ἡ Μήδεια ϗ ἡ Βυζία· (α) ἡ Σωζόπολις· ἡ Ἀγαθȣ́πολις ϗ ἡ Ἀγχίαλος (β) ϗ ἡ Μεσημβρία. Ἀπὸ νότȣ δὲ πάλιν, ἡ μὲν Συλημβρία ϗ ἡ Ἡράκλεια, ϗ ἡ Χώρα ϗ τὸ Γάνον, ἤτοι ἡ Γάνȣ καὶ Χώρας κεῖνται πρὸς τὴν Προποντίδα· ἡ δὲ Αἶνος, ϗ ἡ Μαρώνεια, ϗ ἡ Ξάνθη, πρὸς τὸ Αἰγαῖον Πέλαγος. Μεταξὺ δὲ τȣ́των κατὰ τὸ μεσόγειον κεῖνται τὸ Διδυμότειχον, ἡ Λίττιτσα, ἤγȣν τὸ Ὀρτάκιογι, ϗ ἡ Ἀδριανȣ́πολις· ϗ πρὸς τὰ ἀρκτικοδυτικώτερα αὐτῆς τε τῆς Ἀδριανȣπόλεως, ϗ ἁπάσης τῆς Θρᾴκης κεῖται ἡ Ἐπαρχία Φιλιππȣπόλεως, εἰς τὴν γωνίαν τὴν μεταξὺ τῶν δύω ὀρῶν, ἤγȣν τȣ͂ Αἵμȣ ϗ τῆς Ῥοδόπης, ὑφ' ὧν ϗ πε-

---

(α) Ἡ Μήδεια ϗ ἡ Βυζία εἰς μίαν Ἐπαρχίαν πρὸ πολλȣ͂ εἰσιν ἡνωμέναι, ϗ ὁ Μητροπολίτης τȣ́των τῶν δύω ἐπαρχιῶν μόνον τῷ Βυζίης ὀνόματι ἐξακȣ́εται.

(β) Ἡ Ἀγαθȣ́πολις καὶ Ἀγχίαλος, ϗ αὗται πρὸ ὀλίγων ἐτῶν εἰς μίαν Ἐπαρχίαν ἡνώθησαν, ϗ ὁ Μητροπολίτης αὐτῶν μόνον Ἀγχιάλȣ ὀνομάζεται.

НБ ОНУ імені І.І. Мечникова

ριορίζεται κατὰ τὰς τρεῖς πλευρὰς, βορινὴν, δυτικὴν, καὶ νότιον· τὸ δὲ πρὸς ἀνατολὰς αὐτῆς μέρος, ἤγουν τὸ πρὸς Ἀδριανούπολιν, ἀνεωγμένον ἐστὶ καὶ ἐπίπεδον.

§. ε΄. Ποτίζουσι δὲ αὐτὴν ἐκ ὀλίγοι ποταμοὶ, οἱ μὲν ἀπὸ Αἵμου, οἱ δὲ ἀπὸ Ῥοδόπης τὰς πηγὰς ἔχοντες· ἀλλ᾽ ὁ μέγιστος ποταμός ἐστιν ὁ Ἕβρος, κοινῶς Μαρίτσα· ὃς ἀπὸ τοῦ Ὀρβήλου ὄρους (α) ἀρχόμενος, ἄνωθεν τῶν Σαμακοβίων κατέρχεται, καὶ χωρίζει τὰ δύο ταῦτα μέγιστα ὄρη τῆς Θράκης ἀπ᾽ ἀλλήλων, ἤγουν τὸν Αἷμον ἀπὸ τῆς Ῥοδόπης, ἔπειτα χωρίζει εἰς δύο τὴν Ἐπαρχίαν Φιλιππουπόλεως, τὴν μὲν πρὸς Ἄρκτον, τὴν δὲ πρὸς Μεσημβρίαν.

§. ς΄. Διαιρεῖται δὲ νῦν ἅπασα ἡ Ἐπαρχία Φιλιππουπόλεως εἰς πέντε θέματα, ἤτοι Ἐπαρχίας· αἵτινες Καζάδες καὶ Καδιλίκια τουρκιστὶ λέγονται. Μίαν μὲν Τοπαρχίαν αὐτὴν τὴν Φιλιππούπολιν· δευτέραν τὴν πρὸς ανα-

---

(α) Τὸ ὄρος Ὄρβηλος κοινῶς ὀνομάζεται βουνὸν τῆς Ῥίλας.

τολὰς Φιλιππουπόλεως, ἢ μᾶλλον πρὸς Εὖρον ἄνεμον, μεταξὺ δηλαδὴ ἀνατολῆς ϗ νότου, ὅπου ἐστὶν ἡ πόλις Χάσκιογι· (α) ἥτις ἐστὶ Σατραπεία, ϗ ἐν αὐτῇ ἐστιν ὁ θρόνος τοῦ Σατράπου· ἑτέραν τὴν πρὸς δυσμὰς, ὅπου ἐστὶν ἡ πόλις Παζαρτζίκιον· (β) ἄλλην τὴν πρὸς βορρᾶν, ἢ πρὸς Αἷμον, ὅπου εἰσί τινες κῶμαι ϗ χῶραι τοῦ Καζανλικίου, εἰς τὴν ὑπώρειαν τοῦ Αἵμου κείμεναι· τὸ δὲ Καζανλίκιον μετὰ τῶν λοιπῶν χωρίων, ϗ ἁπάσης τῆς ἄλλης αὐτοῦ διακρατήσεως εἰς τὴν Ἐπαρχίαν Τορνόβου περιορίζεται· ϗ πέμπτην τὴν πρὸς Καικίαν ἄνεμον, μεταξὺ δηλαδὴ ἀνατολῆς ϗ βορέως μικρον, ὅπου ἐστὶν ἡ κωμόπολις Τζιρπάνη.

§. ζ΄. Μέσην δὲ θέσιν ἔχει ἡ Τοπαρχία Φιλιππουπόλεως, ἐν ᾗ ϗ ἡ Μητρόπολις κεῖται πάσης τῆς Ἐπαρχίας, ἤγουν ἡ Φιλιππούπολις, τετιμημένη οὖσα ἔκπαλαι εἰς θρόνον Μητροπολίτου, τὸν δωδέκατον θρόνον συμ-

---

(α) Τὸ Χάσκιογι ἀπέχει τῆς Φιλιππουπόλεως ἕως ὡρῶν δεκατεσσάρων.

(β) Τὸ δὲ Παζαρτζίκιον ἕως ὡρῶν ἕξ.

НБ ОНУ імені І.І. Мечникова

πληρϐντος τῶν ὑπὸ τὸν Παναγιώτατον οἰκϐμενικὸν Πατριάρχην τελϐντων ἐγκρίτων ἀρχιερέων, κατὰ τὰ παλαιὰ πρακτικὰ (α), καὶ ἔχϐσα ὑφ' ἑαυτὴν δέκα ἐπισκοπάς, οἱ δ' ἀπὸ τϐτων ἐπίσκοποι ἐκαλϐντο ϐτως. Ὁ Ἀγαθονικείας· ὁ Διοτίτσης· ὁ Σκϐταρίϐ· ὁ Λεύκης· ὁ Βλέπτϐ· ὁ Δραμίτσης· ὁ Ἰωαννίτσων· ὁ Κωνςαντίας· ὁ Βελικίας· ὁ Βϐκϐδων· τὰ νῦν δὲ δύο μόνον ἔχει ἐπισκόπϐς τὸν Ἀγαθονικείας, καὶ Λεύκης, καὶ τϐτϐς ἐπὶ ψιλῷ ὀνόματι· διότι πᾶσαι αἱ ἐπισκοπαὶ αὐτῆς ἐν τῇ τελευταίᾳ ἁλώσει ἐξηρημώθησαν.

§. η'. Εἴπομεν ϐν, ὅτι ἡ Φιλιππϐπολις ἔχει τὴν μέσην θέσιν πρὸς τὴν λοιπὴν Ἐπαρχίαν· καὶ ἀπ' ἀνατολῶν μὲν ἕως τῶν μεθορίων τῆς Ἐπαρχίας Ἀδριανϐπόλεως, ὅπϐ ἐςί τι χωρίον τῆς Τοπαρχίας Χάσκιογι, καλϐμενον

---

(α) Α'. Ὁ Καισαρείας. β'. Ὁ Ἐφέσϐ. γ'. Ὁ Ἡρακλείας δ'. Ὁ Ἀγκύρας. ε'. Ὁ Κυζίκϐ. ς'. Ὁ Νικομηδείας. ζ'. Ὁ Νικαίας. η'. Ὁ Χαλκηδόνος. θ'. ὁ Θεσσαλονίκης. ι'. Ὁ Τορνόβϐ. ια'. Ὁ Ἀδριανϐπόλεως. ιβ'. Ὁ Φιλιππϐπόλεως.

НБ ОНУ імені І. І. Мечникова

Χαρμανλὶ, ἐξακουόμενον δὲ διὰ τὸ μέγα ἐν αὐτῷ λιθόκτιστον Πανδοχεῖον, εἰσὶν ὧραι δεκαεννέα· ἴσον δὲ καὶ τὸ ἀπὸ βορέως διάστημα ἕως τινὸς χώρας τοῦ Καζανλικίου, Σίπκας καλουμένης, ἥτις ἐστὶ μεθόριον τῆς Ἐπαρχίας Τορνόβου· ἀπὸ δὲ δυσμῶν ἕως τοῦ μέρους, ὅπου ὁ Ἕβρος ποταμὸς χωρίζει τὸν Αἷμον ἀπὸ τῆς Ῥοδόπης εἰσὶν ὧραι δώδεκα. Ἐνθεῦθεν ἡ Ῥοδόπη ἄρχεται ἐκφύειν ὡσεὶ κλάδους τινὰς σχιζομένους καὶ χωριζομένους ὑπὸ χειμάῤῥων καὶ ποταμῶν· ὅθεν οἱ κλαδίσκοι τῆς Ῥοδόπης, ἢ αἱ ὑπώρειαι τούτου τοῦ ὄρους ἐκτεινόμεναι ἐπὶ διάστημα ἱκανὸν, καταντῶσιν ἕως δύω ὡρῶν πλησίον τῆς Φιλιππουπόλεως, ὅπου ἐστὶ κείμενόν τι Μοναστήριον τοῦ ἁγίου Γεωργίου καλούμενον Μπελαστίτσας, ἐκ τοῦ παρακειμένου αὐτῷ χωρίου, οὕτω καλουμένου· ὅπερ μεθερμηνεύεται ἀγαθὴ νίκη· καὶ ἴσως αὕτη ἐστὶν ἡ ἐπισκοπὴ Ἀγαθονίκεια. Ἐκεῖθεν δὲ κατ' εὐθεῖαν πρὸς νότον ἕως τινὸς χωρίου, ὃ καλεῖται Τσεπελάριον, καὶ ἐστι σύνορον τῆς Ξάνθης, εἰσὶν ὧραι δέκα· ὥστε καὶ ἡ πρὸς νότον ἔκτασις, ἀπὸ Φιλιππουπόλεως ἕως Τσεπελαρίου, εἰσὶν ὧραι δώδεκα. Πᾶσα οὖν ἡ ἔκτασις τῆς Ἐπαρχίας κατά τε

НБ ОНУ імені І.І. Мечникова

τὸ μῆκος, ἤγουν ἀπὸ δύσεως πρὸς ἀνατολὰς, καὶ κατὰ τὸ πλάτος, ἤγουν ἀπὸ νότου πρὸς βοῤῥᾶν, ἐςὶν ἕως ὡρῶν τριάκοντα μιᾶς.

§. θ΄. Κεῖται δὲ ἡ πόλις Φιλίππου ἐν τῇ βεσσικῇ χώρᾳ τῆς Θρᾴκης· ὅπου κατῴκουν τὸ πάλαι οἱ Τιλαταῖοι, καὶ ἔςι μεταξὺ τοῦ ἕκτου καὶ ἑβδόμου κλίματος πρὸς βοῤῥᾶν· διότι ἡ μεγίςη ἐν αὐτῇ ἡμέρα καταμετρεῖ ὥρας δεκαπέντε, καὶ ἓν τέταρτον τῆς ὥρας ἐγγύς· ὡσαύτως καὶ ἡ νύξ· ὅθεν ἕπεται εἶναι τὸ πλάτος τοῦ τόπου ἕως μοιρῶν 43. Τὸ δὲ μῆκος κατὰ τοὺς νεωτέρους ἐςὶ μοιρῶν 42. λεπτῶν 15. (α).

---

(α) Πλάτος ἑνὸς τόπου λέγεται τὸ διάςημα, ὅσον ἀπέχει εἰς τόπος ἀπὸ τοῦ ἰσημερινοῦ κύκλου· ὅθεν τὸ πλάτος Ἑκάςου τόπου πάντοτέ ἐςι τὸ αὐτὸ καὶ ἀκίνητον· τὸ δὲ μῆκος μετακινεῖται, ὅπως βέλεται ἕκαςος γεωγράφος. Οἱ Κύριοι Αὐτάδελφοι Καπετανάκη εἰς τὸν α΄. τόμον τῆς γεωγραφικῆς αὐτῶν εἰσαγωγῆς γράφουσι τὸ πλάτος Φιλιππουπόλεως μοιρῶν 42. λεπτῶν 20.



Наукова бібліотека
ОДЕСЬКОГО НАЦІОНАЛЬНОГО
УНІВЕРСИТЕТУ
імені І. І. МЕЧНИКОВА

§. ι'. Αὕτη ἡ πόλις τὸ πάλαι ἦν ᾠκοδομημένη ἐπάνω τριῶν λόφων συνημμένων ἀλλήλοις, καὶ φαινομένων ὡς τρίπους· διὸ καὶ ἀπὸ πάντων τῶν ἄλλων ὀνομάτων αὐτῆς ἐπεκράτει καλεῖσθαι Τριμόντιον· ἔστι δὲ ὁ μὲν τῶν λόφων πρὸς νότον, καὶ ἀνατολὰς μικρὸν βλέπων, ὅς ἐστι τῶν τριῶν ὁ ὕψιστος, καὶ καλεῖται λόφος τῶν Σχοινοβατῶν, τουρκιστὶ δὲ Τσαμπᾶς Τεπές· διότι ἐπ' αὐτοῦ τοῦ λόφου οἱ σχοινοβατοῦντες ποιοῦνται τὴν ἐσχάτην γύμνασιν, διὰ τῶν σχοίνων ἐπὶ τοῦ λόφου ἀναβαίνοντες, καὶ οὕτω μαρτυροῦνται σχοινοβάται ἔντεχνοι· ὁ δὲ ἕτερος λόφος νεύει πρὸς βορρᾶν, ὃς ἔχει τὴν μέσην οἱονεὶ θέσιν πρὸς πᾶσαν τὴν πόλιν, καὶ καλεῖται Νεμπὲτ Τεπὲμ, ἀπὸ τῆς συμφωνίας τῶν μουσικῶν ὀργάνων, κρουομένων ἐπ' αὐτοῦ κατά τε τὰς νηστείας, καὶ ἑορτὰς τῶν Ὀθωμανῶν· ὁ δὲ τρίτος πρὸς δύσιν, λόφος τῆς διανομῆς τοῦ ὕδατος καλούμενος, ἤτοι Ταξὶμ Τεπὲς τουρκιστί· διότι ὕδωρ ἱκανὸν ἀπό τινος πλησίον χωρίου, ὃ καλεῖται Μάρκοβον, δι' ὑπογείων σωλήνων ἐφέρετο ἐπὶ τοῦτον τὸν λόφον, κἀκεῖθεν διεμερίζετο ἐπὶ πᾶσαν τὴν πόλιν· ἐν δὲ τῇ ἁλώσει αὐτῆς τοῦ τείχους καθαιρεθέντος,

НБ ОНУ імені І.І. Мечникова

κατεσκάφησαν ϗ οἱ ὑδραγωγοὶ σωλῆνες, τὰ τȣρκιςὶ κιȣ́γκια καλȣ́μενα.

§. ια'. Παρὰ τȣ̃τον τὸν λόφον εἰς τὸ ἀπὸ δυσμῶν μέρος τῆς πόλεως εἰσὶ ϗ ἕτεροι τέσσαρες λόφοι, ȣ̓ μακρὰν ὁ εἷς ἀπὸ τȣ̃ ἑτέρȣ ἀπέχοντες, ὧν ὁ εἷς καλεῖται Καμπάνα ἀπὸ τȣ̃ ὡρωλογείȣ τȣ̃ ἐπ' αὐτȣ̃ τȣ̃ λόφȣ ᾠκοδομημένȣ· ὅπερ διὰ τὸ μέγεθος ȣ̓ μόνον εἰς πᾶσαν τὴν πόλιν, ἀλλὰ ϗ ἐπέκεινα τῆς πόλεως εἰς διάςημα ἱκανὸν ἐξακȣ́εται· ἐπὶ τȣ́τȣ τȣ̃ λόφȣ εἰσὶ ϗ ἕτεραι δύο οἰκοδομαὶ λιθόκτιςοι ϗ αὐταὶ, ἡ μὲν τὴν πυρίτην κόνιν περιέχȣσα τῆς πόλεως, ἡ δὲ τὰ πυροβόλα ὅπλα, καὶ τȣ̀ς ἐπ' αὐτοῖς τεταγμένȣς ςρατιώτας· ὁ δὲ ἕτερος λόφος καλεῖται Κρηνὶς, ϗ τȣρκιςὶ Μπȣναρττίκι, διά τινα πηγὴν ἐπ' αὐτὴν ἀείῤῥοον· ὁ δὲ τρίτος λόφος καλεῖται τȣ̃ Κράλη Μάρκȣ· διότι ἐπ' αὐτȣ̃ τȣ̃ λόφȣ ἐςί τι μνῆμα μέγα λαξευτὸν ἐν τῇ αὐτοφυεῖ πέτρᾳ, ὃ καλȣ̃σι σκάφην τȣ̃ Κράλη Μάρκȣ· ὁ δὲ τέταρτος καλεῖται λόφος τῶν δρυάδων Νυμφῶν, τȣρκιςὶ δὲ Τσιντὲν Γεπές· ὅς ἐςιν ὁ ὕψιςος τῶν τεσσάρων καὶ πυραμοειδής· δύο ȣ̓̃ν καὶ ἐκ



НБ ОНУ імені І.І. Мечникова

τούτων τῶν τεσσάρων λόφων, οἵτινές εἰσι πλησιέστεροι τῆς πόλεως, ὅ, τε τῆς Καμπάνης, καὶ ὁ τῆς Κρηνίδος τὰ νῦν εἰσι κατῳκισμένοι, καὶ ἔστιν ἤδη ἡ πόλις, ὡς εἰπεῖν πεντάλοφος.

§. ιβ΄. Τὸ δὲ ὄνομα Φιλιππούπολις ἔλαβεν ἴσως οὐκ ἀπὸ τοῦ Καίσαρος Φιλίππου, ὡς λέγει Ἄννα ἡ Κομνηνὴ Κεφαλαίῳ ιδ΄. καὶ ὁ γεωγράφος Μελέτιος ἐν τῇ γεωγραφίᾳ αὐτοῦ, ἀλλ' ἀπὸ Φιλίππου τοῦ Ἀμύντου, τοῦ πατρὸς δηλαδὴ Ἀλεξάνδρου τοῦ μεγάλου, κατὰ τὴν μαρτυρίαν Λουκιανοῦ τοῦ Σαμοσατέως (α),

---

(α) Λουκιανὸς ἐν τῷ διαλόγῳ δραπέται· ἐν ᾧ διαλέγονται ὅ, τε Ἑρμῆς, καὶ ὁ Ἡρακλῆς, καὶ ἡ Φιλοσοφία.
Ἑρμ. „οὐκοῦν εὐθὺ τῆς Θρᾴκης ἀπιτέον. Ἡρακ. „εὖ λέγεις, καὶ ἡγήσομαί γε ὑμῖν τῆς ὁδοῦ· „οἶδα γὰρ τὰ Θρᾳκῶν ἅπαντα συχνάκις ἐ„πελθών· καί μοι τήνδε ἤδη τραπώμεθα. „Ἑρμ. ποίαν λέγεις; Ἡρακ. ὁρᾶτε ὦ Ἑρ„μῆ, καὶ Φιλοσοφία δύο μὲν ὄρη μέγιστα καὶ „κάλλιστα ὀρῶν ἁπάντων; Αἶμός ἐστι τὸ μεῖ„ζον, ἡ καταντικρὺ δὲ Ῥοδόπη· πεδίον δὲ „ὑποπεπταμένον πάμφορον, ἀπὸ τῶν προπό-

НБ ОНУ імені І.І. Мечникова

ὅς τις ἐχρημάτισε πρὸ τȣ̃ Φιλίππȣ Καίσαρος (α)· Πιθανὸν δὲ, ὅτι μετὰ τὸν Φίλιππον Ἀ-

„δων ἑκατέρων εὐθὺς ἀρξάμενον; καί τινας „λόφȣς τρεῖς, πάνυ καλȣ̀ς ἀνεςηκότας, ȣ̓κ „ἀμόρφȣς τὴν τραχύτητα, οἷον ἀκροπόλεις „πολλὰς τῆς ὑποκειμένης πόλεως; ϗ ἡ πόλις „γὰρ ἤδη φαίνεται. Ἑρμ. νὴ δί ὦ Ἡράκλεις, „μεγίςη ϗ καλλίςη ἁπασῶν· πόῤῥωθεν ȣ̓ν ἀ-„πολάμπει τὸ κάλλος· καί τις ποταμὸς μέ-„γιςος παραμείβεται, πάνυ ἐν χρῷ ψαύων „αὐτῆς. Ἡρακλ. Ἕβρος μὲν ȣ̓τος, ἡ δὲ πό-„λις ἔργον Φιλίππȣ ἐκείνȣ.“ *)

*) Οὐ δύσκολον ἐννοῆσαι περὶ ὁποίας Φιλιππȣπόλεως ὁ λόγος· ἢ ὅτι περὶ ἐκείνης, ἥτις καὶ Τριμόντιον ἐλέγετο πρότερον, ϗ Καλύβη, ϗ Πȣλπȣδαίνη, ϗ Εὐμολπιὰς, κειμένη πρὸς τὸν Ἕβρον ποταμὸν μεταξὺ Αἵμȣ ϗ Ῥοδόπης· διὰ τȣ̃το ὠνόμασαι Τριμόντιον, ὅτι τρία ὄρη ἐν τῷ περιβόλῳ τῶν τειχῶν αὐτῆς περιέχονται. „Παλμέριος Ἰάκωβος ὁ σχολιαςὴς Λȣκιανȣ̃.“

(α) Λȣκιανὸς ὁ Σαμοσατεὺς ἐχρημάτισεν ἐπὶ τῆς βασιλείας Μάρκȣ Αὐρηλίȣ ϗ Κομμόδȣ. „Εὐγένιος ἐν τῇ λογικῇ αὐτȣ̃, εἰς τὸ περὶ ἀρχῆς ϗ προόδȣ φιλ. §. κ΄. ὁ δὲ Δομαίρων

μύντου, ϗ τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον, διὰ τὰς συνεχεῖς μεταλλαγὰς τῶν ἐξουσιαστῶν ὅλης τῆς Θρᾴκης, ἔπαθε ϗ αὕτη ἡ πόλις τινὰ ἐρήμωσιν, ϗ εἰς πολίχνιον κατήντησε, ϗ ὕστερον ὁ Καίσαρ Φίλιππος ἀνώρθωσεν αὐτὴν μετὰ καλλωπισμοῦ μεγάλου, ϗ περιβόητον τῶν ἐν Θρᾴκῃ (καθὼς λέγει ἡ Κωμνηνὴ) πεποίηκε πόλεων, ἱππικά τε καταστησάμενος ἐν αὐτῇ μέγιστα, ϗ ἄλλα κατασκευάσματα θαύματος ἄξια· ὧν οὐδὲν τὴν σήμερον καταφαίνεται· πλὴν ἐν τῷ δυτικῷ μέρει τῆς πόλεως ἐστί τι πεδίον μέγα πρὸ τῆς πόλεως κείμενον, ϗ ἐν αὐτῷ ἰσομεγέθη τινὰ τετράπλευρα, μείζονα τόπον τοῦ σταδίου περιέχοντα, ϗ δένδρα πάμπολλα, μεγάλα τε ϗ συνηρεφῆ, ἅτινα διαχωρίζουσι τὰ τετράπλευρα· ὀνομάζουσι δὲ αὐτὰ οἱ Τοῦρκοι Σαράγι, ἤγουν Παλάτιον, καὶ κατὰ πᾶσαν ἕκτην ἡμέραν τῆς ἑβδομάδος, ἤ-

---

ἐν τῇ ἐπιτομῇ τῆς γενικῆς ἱστορίας λέγει, ὅτι ὁ Μάρκος Αὐρήλιος ἐβασίλευσε πρὸ τοῦ Φιλίππου Καίσαρος 83. ἔτη. Ἀνάγνωθι τὴν μετάφρασιν τῆς γενικῆς αὐτοῦ ἱστορίας τόμῳ β΄. περὶ βασιλείας Ῥωμαίων.

НБ ОНУ ім. І.І. Мечникова

γου τὴν παρασκευὴν, ἐξέρχονται ἐν αὐτοῖς ἔφιπποι, καὶ ἱπποδρομοῦσι παίζοντες τὸ δοράτιον, ὃ τσιρίτι καλοῦσιν· οἱ δὲ θεαταὶ ἐπὶ τῶν περιεχόντων τὰ στάδια ἀνεστηκότων χωμάτων κάθηνται ὑποκάτω τῆς τῶν δένδρων σκιᾶς· τοῦ δὲ περιβόλου τῶν τειχῶν τῆς πόλεως μένουσί τινα λείψανα, ἀφ' ὧν τὴν ὀχυρότητα, ἣν εἶχε τὸ πάλαι ἡ πόλις, συμπεραίνομεν· ἀλλὰ καὶ νῦν τάφρῳ ὀχυρῷ, εἴτ' οὖν χάνδακι περιορίζεται πᾶσα ἡ πόλις· σώζονται δὲ καὶ δύω πύλαι αὐτοῦ τοῦ τείχους, ἡ μὲν ἀπὸ ἀνατολῶν, ἡ δὲ ἀπὸ δυσμῶν τῆς πόλεως κείμεναι· καὶ μία ἐκκλησία τῆς ἁγίας Παρασκευῆς μικρὰ λιθόκτιστος μετὰ θόλου, ἀπὸ νότου κειμένη τῆς πόλεως, εἰς τὴν ὑπώρειαν τοῦ λόφου, τοῦ ἐπονομαζομένου τῶν Σχοινοβατῶν· ἧς ἐν τῷ τείχει ἐπὶ πέτρας εἰσὶ γράμματα Ἑλληνικὰ διὰ τὴν πολυκαιρίαν τὰ πλείω διεφθαρμένα, περιέχοντα τὰ ἑξῆς.

НБ ОНУ імені І.І. Мечникова

ΥΠΕΡ ΑΓΑΘΗ ΤΥΧΗ
ΤΗΣ ΤΩΝ ΑΥΤΟΚΡΑΤΟΡΩΝ
ΝΙΚΗΣ ΚΑΙ ΤΩΝ .....ΥΔΙΑΜΟΝΗΣ
Μ ΑΥΡΗΛΙΟΥ .. ΛΑΙ ΤΩΝ ΕΙΙΙ ΚΑΙ Λ
ΑΥΡΗΛΙΟΥΟ · Ν · ΡΟΥ ΑΡΜΕΝΙΑΚΩΝ
ΦΙΛΙΣΚΟΣ Κ...... ΙΟΣΑΡΚΟ ..
...ΑΝΕΘΗΚΕ ΑΡΤΕΜΕΙΣΙΑΔΙ ΜΕ
ΤΑ ΙΕ~ΡΟΣ ΥΙΗΝ ΔΕΚΙ....
ΚΟΥΝΤΟΣ ΑΛΦΕΙΟΥΝΟΣ ΕΝΩΝΙΟΥ
Δ ΕΠΙΜΕΛΗΤΕΥΟΝΤΟΣ ΦΛΑΟΥ
ΕΥΔΑΙΜΟΝΟΣ ΤΟΥ ΚΑΙ ΦΛΑΟΥΙΑ-
ΝΟΥ

„Καὶ ἐν ἑτέρᾳ πέτρᾳ τῆς αὐτῆς ἐκκλησίας.

ΔΤΥΧΗ
............ΙΙΟΥ ΤΟΥ ΥΠΑΤΙΚΟΥ
ΤΩΥ......ΝΑΦΥΛΗ ΚΕΝΔΡΙΣΕΙΣ

Καὶ ἐν ἑτέρᾳ ἐκκλησίᾳ τῆς κοιμήσεως τῆς Θεοτόκȣ κατὰ τὸ μέσον τῆς πόλεως κειμένη, ὄπισθεν τȣ͂ ἁγίȣ βήματος αὐτῆς ἐν τῷ τείχει

εἰσὶ γράμματα ἐπί τινος πέτρας περιέχοντα τάδε·

ΑΚΤΙΟΣ ΜΑΞΙΜΟΥ ΤΟΥΣ ΚΛΥΝΤΗ-
ΡΑΣ ΚΑΤΕΣΚΕΥΑCΕΝ CΥΝ ΤΟΙΣ ΥΠΟ-
ΘΕΜΑCΙΝ ΕΚ ΤΩΝ ΙΔΙΩ ΦΙΛΗ ΑΡΤΕ-
ΜΙCΙΑΔΙ ΑΝΤΙ ΤΗC ΠΟΛΙΤΕΙΑC ΕΠΙ-
ΜΕΛΙΤΕΥΟΝΤΟC ΦΛΑΒΙΟΥ ΕΥΔΑΙ-
ΜΟΝΟC ΤΟΥ ΚΑΙ ΦΛΑΟΥΙΑΝΟΥ

Καὶ ἔν τινι πανδοχείῳ λιθοκτίστῳ μολυβδοεσκεπασμένῳ, ἐν τῇ ἀγορᾷ κειμένῳ τῆς πόλεως, ἔστι τις δεξαμενὴ ὕδατος μεγίστη τετράπλευρος ἐκ λίθου, ἐφ' ἧς εἰσι ταῦτα γεγραμμένα.

ΕΡΕΝΝΙΟΣ ΗΡΑΚΛΙΑΝΟΣ ΓΕΡΟΥ-
ΣΙΑΣΤΗΣ ΦΙΛΙΠΠΟΠΟΛΙΤΗΣ ΕΚ
ΤΩΝ ΙΔΙΩΝ ΕΑΥΤΩ ΚΑΙ ΤΗ ΣΥΒΙ-
Ω ΕΑΥΤΟΥ ΚΛΕΟΠΑΤΡΑ ΑΘΗΝΟΔΩ-
ΡΟΥ ΚΑΤΕΣΚΕΥΑΣΕ ΤΗΝ ΣΟ-
ΡΟΝ ΣΥΝ ΤΩ ΓΡΑΔΩ ΑΝΕΞΟΔΙΑ-
ΣΤΟΝ· ΟΣ ΑΝ ΔΕ ΠΩΛΗΣΙ ΔΩΣΙ ΤΩ ΦΙ-
ΣΚΩ ΔΗΝΑΡΙΑ

Καὶ πρὸ χρόνων δέ τινων, ὅτε περιεφράγη ἡ πόλις τάφρῳ, κατεφάνησαν εἰς βάθος κατὰ

НБ ОНУ імені І.І.Мечникова

τὸ νότειον μέρος τῆς πόλεως, σχήματα θεάτρου, τῶν καθισμάτων ὄντων κατεσκευασμένων ἐκ λίθων μεγίστων ἰσοπλεύρων· καὶ πέρυσιν ἔν τινι οἰκίᾳ κατ᾽ ἐκεῖνο τὸ νότιον μέρος τῆς πόλεως εὑρέθη τι ἔδαφος ἐστρωμένον διὰ ψηφίδων ποικίλων, καὶ συνεχῶς εἰς τὰ ἐρείπια τῆς πόλεως εὑρίσκονται μάρμαρα, τὰ μὲν ἔχοντα γεγλυμμένον ἔφιππόν τινα, καὶ μίαν κόρην πλησίον αὐτοῦ ἱσταμένην, τὰ δὲ κεφαλὴν βοὸς ἐστεφανωμένην· ἕτερα δὲ πάλιν ἀγάλματα κεράμεια εἰς σχῆμα κεφαλῆς Σατύρων· εὑρίσκονται δὲ σπανίως καί τινα μάρμαρα ἔχοντα γλυπτὸν τὸν Ἡρακλῆν μετὰ λέοντος παλαίοντα. Ἀλλ᾽ ἔν τινι Μοναστηρίῳ τῶν ἁγίων Ἀναργύρων Κουκλαίνης ἐπονομαζομένῳ, ἐν τῇ μάνδρᾳ τούτου τοῦ Μοναστηρίου εὑρίσκεται μία εἰκὼν τοιαύτη γλυπτὴ τοῦ Ἡρακλέως μετὰ λέοντος προσπαλαίοντος, ἥτις ἐστὶ τεχνικωτέρα ἁπασῶν· καὶ ἄλλα πολλὰ καὶ διάφορα κατὰ καιροὺς εὑρίσκονται ἐν τῇ πόλει, καὶ ἔξω τῆς πόλεως σημεῖα ἀρχαιότητος.

Τὸ δὲ χάραγμα τῶν νομισμάτων ταύτης τῆς πόλεως ἦν τοιοῦτον. (Πίν. Β΄.)

НБ ОНУ імені І.І. Мечникова

§. ιγ΄. Ποταμὸς δ᾽ ὁ παραῤῥέων τῇ πόλει, ἢ μᾶλλον εἰπεῖν διερχόμενος δι᾽ αὐτῆς, ἐστὶν ὁ Ἕβρος· ὃς διέρχεται διὰ τῆς βορεία πλευρᾶς τῆς πόλεως, καὶ ἔστι τὸ πέραν τοῦ ποταμοῦ κείμενον τῆς πόλεως μέρος, συνημμένον διὰ γεφύρας ξυλίνης· ἡ δὲ περιφέρεια τῆς πόλεως ἁπάσης τὰ νῦν ἐστιν ἕως ὡρῶν τριῶν.

§. ιδ΄. Οἱ ἐγκάτοικοι ταύτης τῆς πόλεώς εἰσι πέντε γένη, Τοῦρκοι, Χριστιανοὶ τοῦ ἀνατολικοῦ δόγματος, οἵτινες καὶ Ῥωμαῖοι καλοῦνται, Ἁρμένιοι, Μανιχαῖοι, ἤγουν οἱ κοινῶς λεγόμενοι Παυλικιάνοι ἀπὸ Παύλου καὶ Ἰωάννου τῶν υἱῶν τῆς Καλλινίκης (α), καὶ Ἑβραῖοι·

(α) Οὗτοι οἱ Παυλικιάνοι πρότερον κατῴκουν εἰς τὴν Ἀσίαν ἐν τοῖς ὁρίοις τῆς Ἀρμενίας, καὶ ὁ βασιλεὺς Ἰωάννης ὁ Τσιμισχὴς μετήνεγκεν αὐτοὺς ἀπὸ τῆς Ἀσίας, καὶ κατῴκισεν εἰς τὴν Ἐπαρχίαν Φιλιππουπόλεως, καὶ ἐκ ταύτης τῆς Ἐπαρχίας διεσπάρησαν καὶ εἰς ἄλλα μέρη τῆς εὐρωπαϊκῆς Τουρκίας· τὰ νῦν δὲ οὐκ ἀκολουθοῦσι τῷ δόγματι τῶν Μανιχαίων, ὑπο-

НБ ОНУ імені І.І.Мечникова

ὅς πάντας εἴ τις εἰς δεκαπέντε διέλοι μέρη, τὰ μὲν ἕνδεκά εἰσι Τοῦρκοι, τρία δὲ ἀνατολικοὶ Χριστιανοί, ἤγουν Ῥωμαῖοι, καὶ τὸ λοιπὸν ἓν συμπληροῦσι τὰ λοιπὰ τρία γένη, οἱ Ἀρμένιοι, λέγω, οἱ Παυλικιάνοι, καὶ Ἑβραῖοι, ὧν ἕκαστος τὴν ἰδίαν προφέρει διάλεκτον· οἷον, οἱ μὲν Τοῦρκοι τὴν τουρκικὴν, οἱ Ῥωμαῖοι τὴν ἁπλῆν ἑλληνικὴν, οἱ Ἑβραῖοι τὴν ἑβραϊκὴν, οἱ δὲ Παυλικιάνοι τὴν σλαβονικὴν, ἤτοι τὴν βουλγαρικήν· οὐκ ὀλίγοι δὲ ἐξ αὐτῶν εἰσιν εἰδήμονες καὶ τῆς ἰταλικῆς διαλέκτου· τῶν δ' Ἀρμενίων πάνυ ὀλίγοι εἰσὶν εἰδήμονες τῆς ἰδίας αὐτῶν γλώσσης, οἱ δὲ πλείους τὴν τουρκικὴν προφέρουσιν· ἥτις καὶ ἐπικρατεῖ ὑπὲρ πάσας τὰς ἄλλας ἔν τε τῇ πόλει, καὶ ἐν πάσῃ τῇ Ἐπαρχίᾳ.

§. ιε'. Ἔστι δ' ἐν τῇ πόλει καὶ γυμνάσιόν τι τῆς ἑλληνικῆς παιδείας ἐκ πολλοῦ μὲν συνεστός, ἤδε δὲ διὰ τὸν ἀφανισμὸν τῶν πᾶσαν τὴν Ἐ-

---

συρέντες πρὸ χρόνων τῷ δόγματι τῆς δυτικῆς Ἐκκλησίας, καὶ καθ' ὅλα εἰσὶ Παππίσται.

НБ ОНУ імені І. І. Мечникова

παρχίαν ἀναστατούντων λῃστῶν, ἢ μᾶλλον εἰπεῖν διὰ τὸ φιλόμουσον τοῦ νῦν ἀρχιερατεύοντος, πλείονος ἐπιμελείας ἀξιούμενον, τυχὸν δὲ σὺν Θεῷ καὶ ἀξιωθησόμενον. Τῶν δὲ Ὀθωμανῶν γυμνάσιά εἰσι πλείονα, Μεκτέπια ὑπ' αὐτῶν καλούμενα· διὸ οὐκ ὀλίγοι καὶ ἐξ αὐτῶν εἰσι παιδείας τρόφιμοι· πάντες δὲ ἁπλῶς οἱ ἐν τῇ πόλει Τοῦρκοι εἰσὶν ἐπιεικεῖς, καὶ ἥμεροι πρὸς τὰ ἄλλα γένη, φιλότεχνοί τε καὶ φιλέμποροι οὐχ ἧττον τῶν ἄλλων γενῶν· ἀλλ' ἐκ πάντων φιλεμπορώτεροί εἰσιν οἱ τοῦ ἀνατολικοῦ δόγματος Χριστιανοὶ, ἤτοι οἱ Ῥωμαῖοι· οἵτινες ἐμπορεύονται εἰς πολλὰ μέρη τῆς Εὐρώπης, καὶ τὸ πλεῖστον εἰς τὴν Ἀσίαν πᾶσαν· οὐκ ὀλίγοι δὲ καὶ εἰς τὰς Ἰνδίας ἀπέρχονται πραγματευόμενοι, ὅπου καὶ ἀποικία τανῦν οὐκ εὐάριθμός ἐστι Φιλιππουπολιτῶν.

§. ιϛ΄. Αἱ δὲ περὶ τὴν πόλιν κῶμαι, καὶ χῶραι, καὶ χωρία, αἵτινες ὑποτελεῖς εἰσιν αὐτῇ τῇ πόλει, καὶ ἐν ταύτῃ μόνῃ τῇ Τοπαρχίᾳ Φιλιππουπόλεως περιέχονται, ἕως τῶν τριακοσίων ἑξήκοντα ἀριθμοῦνται· καὶ αἱ μὲν ὑπὸ Τούρκων μόνον εἰσὶν οἰκούμεναι, αἱ δὲ ὑπὸ Χριστιανῶν, αἱ δὲ

НБ ОНУ імені І.І. Мечникова

πλείους ἀναμεμιγμέναι εἰσὶν ἐκ τούτων τῶν δύω γενῶν, τῶν Τούρκων τὸ πλεῖστον τοῦ ἀριθμοῦ, ὡς καὶ ἐν τῇ πόλει ἐχόντων· οὐδεμία δὲ νῦν κώμη, ἢ χώρα ταύτης τῆς Τοπαρχίας, ὡς καὶ ἁπάσης τῆς Ἐπαρχίας, ἔχει τὴν προτέραν αὐτῆς καλλονήν· διότι αἱ πλείους πρὸ χρόνων τινῶν ἀνάστατοι ὑπὸ τῶν λῃστῶν γεγόνασιν, αἱ δὲ καὶ ἀπετεφρώθησαν· οὐκ ἀφῆκε μέντοι ἡ δίκη κἀκείνους ἀτιμωρήτους.

§. ιζ'. Περὶ τῶν κωμῶν οὖν καὶ χωρῶν τῆς Τοπαρχίας ταύτης ἔδει πρῶτον διαλαβεῖν· ἀλλ' ἐπειδὴ ἡ ἔκτασις αὐτῆς ἐπὶ πλεῖον διήκει, καὶ πολλαὶ κῶμαι, καὶ χῶραι αὐτῆς μεταξὺ τῶν ἄλλων κεῖνται Τοπαρχιῶν· διὰ τοῦτο βέλτιον ἂν εἴη περὶ ἁπάσης ὁμοῦ τῆς Ἐπαρχίας κατὰ τάξιν ἐρεῖν, καὶ προσθεῖναι ἐν ἑκάστῃ χώρᾳ, καὶ κώμῃ ἀπὸ τίνος Τοπαρχίας ἔχει τὴν διακράτησιν· ποιητέον δὲ τὴν ἀρχὴν, ὅθεν δοκεῖ ἡ περιγραφὴ τῆς Ἐπαρχίας ταύτης ἀκριβεστέρα γενήσεσθαι· καὶ πρῶτον ῥητέον περὶ τῶν προϊόντων αὐτῆς, ὅση καὶ οἵα ἡ εὐμορφία ταύτης τῆς γῆς.

НБ ОНУ імені І.І. Мечникова

§. ιη΄. Πᾶσα τοιγαρȣ̃ν ἡ Ἐπαρχία Φιλιππȣπόλεως εὔφορός ἐςιν ἱκανῶς σίτȣ, ϗ ὀσπρίων διαφόρȣ εἴδȣς, ὡσαύτως οἴνȣ, ϗ ὀρύζης, ϗ σησάμȣ, ϗ μετάξης, ὧν γίνεται ἐξαγωγὴ ϗ εἰς ἄλλα πολλὰ μέρη· ȣ̓χ ἡ σησάμη δὲ ἐξάγεται, ἀλλὰ τὸ ἔλαιον αὐτῆς· διότι ἱκανά εἰσιν ἐλαιȣργεῖα ἔν τε Φιλιππȣπόλει δι᾽ ἱππομύλων, ϗ ἐν ταῖς παρακειμέναις αὐτῆς κώμαις, ϗ χώραις δι᾽ ὑδρομύλων ἐξάγοντα τὸ σησαμοέλαιον· ἔτι δὲ ϗ ὀπωρικά εἰσιν ἀρκȣ̃ντα τῇ Ἐπαρχίᾳ, ϗ νικοτιανὴ, ὁ καλȣ́μενος καπνὸς, ϗ κτηνοτροφίαι ὁμοίως, μάλιςα δὲ τῶν προβάτων ϗ τῶν αἰγῶν, ὧν τὰ μαλλία ἐργάζονται αἱ πλεῖȣς τῶν χωρικῶν γυναικῶν, ϗ κατασκευάζȣσι τὰ πρὸς χειμῶνα ἐπιτήδεια μάλλινα ὑφάσματα, ἅτινα γρύζα ἁπλῶς καλȣ̃σι, τȣρκιςὶ δὲ ἀμπᾶς ὀνομάζεται· ϗ τȣ́των ȣ̓̃ν γίνεται ἐμπόριον ἱκανὸν, εἰς πᾶσαν τὴν Τȣρκίαν διακομιζομένων· τὰ δὲ αἴγεια δερμάτια βαπτόμενα μετακομίζονται εἰς τὴν Εὐρώπην· ϗ κόνις πυρῖτις κατασκευάζεται ἔν τε Φιλιππȣπόλει, ϗ ἐν ἄλλοις τῆς Ἐπαρχίας μέρεσι.

НБ ОНУ імені І.І. Мечникова

§. ιβ΄. Σκȣτάριον, ϗ κοινῶς Σκȣταρέτον, ϗ τȣρκιςὶ Δογαντσέλαι· χωρίον μὲν τὰ νῦν μικρὸν τῆς Τοπαρχίας Φιλιππȣπόλεως ὑπὸ Χριςιανῶν μόνον οἰκȣμενον, ἀπέχον τῆς Φιλιππȣπόλεως ἕως δύω ὡρῶν ϗ ἡμισείας πρὸς καικίαν· (§. ς΄.) τὸ πάλαι δὲ ἦν Ἐπισκοπὴ, ϗ ὁ ταύτης ἐπίσκοπος ἐκαλεῖτο Σκȣταρίȣ.

§. κ΄. Τσιρπάνη, κωμόπολις ϗ Τοπαρχία χωριςὴ, ἀπέχȣσα τῆς Φιλιππȣπόλεως ἐννέα ὡρῶν διάςημα πρὸς καικίαν, ὡς εἴπομεν. (§. ς΄.) Τὸ μέγεθος ταύτης τῆς Τσιρπάνης ἐςὶν ἕως χιλίων οἰκιῶν, ὧν τὸ ἓν τρίτον μόλις εἰσὶ Χριςιανοὶ, οἵτινες τὴν ἁπλῆν σλαβονικὴν, ἤγȣν τὴν βȣλγαρικὴν γλῶσσαν προφέρȣσιν (α)· οἱ δὲ λοιποὶ Τȣ̃ρκοι.

(α) Ἐκτὸς τῆς Φιλιππȣπόλεως, καί τινων χωρίων εἰς τȣ̀ς πρόποδας τȣ̃ ὄρȣς Ῥοδόπης κειμένων, ὅπȣ φαίνεται, ὅτι ἀποικία τίς ἐςιν ἑλληνικὴ, εἰς πάντα τὰ λοιπὰ μέρη τῆς Ἐπαρχίας ἡ βȣλγαρικὴ ὡς ἐπὶ τὸ πλεῖςον συνεθίζεται· μάλιςα δὲ τὰ ἐπὶ τȣ̃ ὄρȣς Ῥοδόπης κείμενα χωρία, τὸ μέρος ἐκεῖνο δηλαδὴ, ὅπερ καλεῖται Γιαϊλᾶς, ἢ Τȣ̃ρκοι ϗ Χρι-

НБ ОНУ імені І.І. Мечникова

§. κα'. Αὕτη ἡ Τοπαρχία Τσιρπάνης περιέχει χωρία τȣρκικά τε ϗ βȣλγαρικὰ, ἤτοι χριςιανικὰ ἕως ἑξήκοντα τὸν ἀριθμὸν, ὧν τὰ ἡμίση εἰσὶν ὑπὸ τὸν Τȣρνόβȣ, ἡ δὲ Τσιρπάνη μετὰ τῶν λοιπῶν ἡμίσεων αὐτῆς χωρίων εἰσὶν ὑπὸ τὸν Φιλιππȣπόλεως. Ἐν ταύτῃ τῇ Τοπαρχίᾳ γίνεται ὁ κάλλιςος σῖτος· διὸ ϗ οἱ πλείȣς εἰσὶ γεωργοί.

§. κβ'. Σίπκα, χώρα τῆς Τοπαρχίας Καζανλικίȣ, ὅ ϗ ἀπέχει δύω ὡρῶν διάςημα· κεῖται δὲ εἰς τȣ̀ς πρόποδας τȣ̃ ὄρȣς Αἵμȣ, ϗ ἔςι πρὸς βοῤῥᾶν τῆς Φιλιππȣπόλεως, ἀπέχȣσα αὐτῆς ὥρας δεκαεννέα, ὡς ἔφημεν. (§. η.) τὸ μέγεθος ταύτης ἐςὶν ἕως τριακοσίων οἰκιῶν, πάντες δὲ ὀρθόδοξοι, τὴν γεωργικὴν οἱ πλείȣς μετερχόμενοι.

§. κγ'. Καλόφερος, χώρα ϗ αὕτη, ἡ κώμη τȣ̃ Καζανλικίȣ, εἰς τὴν αὐτὴν ὑπώρειαν

---

ςιανοὶ τὴν βȣλγαρικὴν μόνον προφέρȣσι· σπανίως δὲ ἡ ἁπλῆ ἑλληνικὴ συνεθίζεται ἐν ταῖς πόλεσι, ϗ ἔν τισι κώμαις ϗ χώραις.

τοῦ Αἵμου κειμένη, πρὸς δυσμὰς τῆς Σίπκας καὶ πρὸς βοῤῥᾶν τῆς Φιλιππουπόλεως· καὶ τῆς μὲν Σίπκας ἀπέχει ὥρας ἕξ, τῆς δὲ Φιλιππουπόλεως ὥρας δεκατέσσαρας· αὕτη ἡ κώμη πρότερον μὲν ἦν μείζων, ἀλλ' ἐπειδὴ κατεκάη καὶ αὐτὴ ὑπὸ τῶν λῃστῶν, νῦν ἀνακαινισθεῖσα μόλις πεντακοσίας, ἢ ἑξακοσίας τὸν ἀριθμὸν περιέχει οἰκίας· πάντες δὲ οἱ ἐνοικοῦντές εἰσι Χριστιανοί· ὧν οἱ πλεῖστοι εἰς τὴν Εὐρώπην πραγματεύονται διὰ δερμάτων βεβαμμένων, τῶν λεγομένων κορδοβανίων, καὶ ἄλλων τινῶν πραγματειῶν. Ἐν ταύτῃ ἐργάζονται αἱ γυναῖκες τὰ μάλλινα ὑφάσματα, τὰ κοινῶς γρύζα καλούμενα· εἰσὶ δ' ἐν αὐτῇ τῇ κώμῃ καὶ δύο ἀσκητήρια γυναικεῖα, ὧν αἱ μονάζουσαι ταῖς ἰδίαις χερσὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα πορίζονται· διότι ἐξυφαίνουσι τὰ λεπτότερα μάλλινα ὑφάσματα, ἐξ ὧν σινδόνας κατασκευάζουσι καὶ περιβόλαια, τὰ κοινῶς ῥάσα λεγόμενα· διὰ ταύτης τῆς κώμης διέρχεται ὁ Ταίναρος ποταμὸς, κοινῶς Τοῦντσα, τὰς πηγὰς ἐκεῖθεν πλησίον ἔχων ἐκ τοῦ αὐτοῦ ὄρους Αἵμου· πλησίον δὲ αὐτῆς ἐντὸς τοῦ ὄρους Αἵμου ἐστὶ καί τι Μοναστήριον βουλγαρι-

НБ ОНУ імені І.І. Мечникова

κὸν,(α)ἐπονομαζόμενον τῆς Καλοφέρε ἀπὸ τῆς παρακειμένης αὐτῷ κώμης. Εἰσὶ δὲ καί τινα χωρία τε Καζανλικίε, ἐν τῇ αὐτῇ Ἐπαρχίᾳ Φιλιππεπόλεως περιεχόμενα, ἅτινα κεῖνται μεταξὺ τῆς Καλοφέρε, Σίπκας, Καζανλικίε, ϗ Τσιρπάνης.

§. κδ'. Κάρλοβον, κωμόπολις τῆς Τοπαρχίας Φιλιππεπόλεως εἰς τὲς πρόποδας ϗ αὐτῃ τε ὄρες Αἵμε κειμένη, δύω ὥρας ἐντεῦθεν τῆς Καλοφέρε, ἤτοι πρὸς δυσμὰς, τῆς δε Φιλιππεπόλεως ἀπέχει ὥρας δώδεκα πρὸς βοῤῥᾶν· ϗ τοσᾶτόν ἐςι καθ' αὐτὸ τὸ ἀπὸ Φιλιππεπόλεως ἕως τε ὄρες Αἵμε διάςημα· τὸ μέγεθος αὐτῆς ἕως χιλίων οἰκιῶν, ὧν τὸ ἓν τέταρτον Χριςιανοὶ, οἱ δὲ λοιποὶ Τᾶρκοι· ἐνταύτῃ κατὰ πᾶσαν ἕκτην ἡμέραν τῆς ἑβδομάδος, ἤγεν τὴν παρασκευὴν συνίςαται ἀγορὰ ἀπὸ τῶν πέριξ χωρίων· εἰσὶ δ' ἐν αὐτῇ καὶ

(α) Βελγαρικῇ δηλαδὴ διαλέκτῳ τὰς ἀκολεθίας ἀναγινώσκεσιν οἱ ἐν αὐτῷ ἀσκέμενοι καλόγηροι.



НБ ОНУ імені І.І.Мечникова

τεχνεργεῖα διάφορα, ϗ ῥοδωνιαὶ ἐν αὐτῇ τε ϗ περὶ αὐτὴν, ἤτοι τριανταφυλλῶνες, ἱκαναὶ, ὅθεν ἐξάγȣσι τὸ πνεῦμα τῶν ῥόδων, τὸ καλȣ́μενον κοινῶς ῥοδόςαμα, ϗ τὸ ἐκ τῶν ῥόδων ἔλαιον, ἤτοι τὸ μῦρον· κατασκευάζȣσι δ' ἐν αὐτῇ ϗ κόνιν πυρίτιν· τῶν δὲ γυναικῶν αἱ πλείȣς ἐργάζονται τὰ μάλλινα ὑφάσματα, ἤτοι τὰ γρύζα· ϗ δι' αὐτῆς διέρχεταί τις ποταμὸς, ϗ ἅπας ὁ τόπος καταβρέχεται ὑπὸ τῶν ὑδάτων.

§. κε'. Μεταξὺ Καρλόβȣ, Τσιρπάνης, καὶ Φιλιππȣπόλεως, ἐςί τις βȣνὸς μικρὸς Καρατσᾶ Δὰγ, ἤτοι δορκάδος ὄρος καλȣ́μενον, ἐφ' ᾧ εἰσιν ἱκανὰ χωρία τῆς Τοπαρχίας Φιλιππȣπόλεως μικρά τε ϗ μεγάλα· τὸ μέγιςόν ἐςιν ἕως τριακοσίων οἰκιῶν, ϗ καλεῖται Χατσάρη· τȣ́των οἱ πλείȣς τὴν προβατευτικὴν μετέρχονται τέχνην, ϗ οἱ λοιποὶ τὴν γεωργικήν· ἀπέχει δὲ τὸ ὄρος τȣ̃το τῆς μὲν Καρλόβȣ, ἤτοι ἀπὸ τȣ̃ ὄρȣς Αἵμȣ ἕως τριῶν ὡρῶν, τῆς δὲ Φιλιππȣπόλεως ἕως ὀκτώ.

НБ ОНУ імені І.І. Мечникова

§. κϛ'. Σόποτ, ἢ Ἀκτσέκκλησε, χώρα ϗ αὕτη τῆς Φιλιππουπόλεως ἕως πεντακοσίων οἰκιῶν τὸ μέγεθος, εἰς τὴν αὐτὴν ὑπώρειαν τοῦ Αἵμου πλησίον τῆς Καρλόβου ἕως εἴκοσι λεπτῶν τῆς ὥρας, Χριστιανοὶ πάντες· ἐνταῦθά εἰσι ϗ ὑελουργεῖα κατασκευάζοντα διάφορα ἀγγεῖα ὑάλινα, μελανὰ ὅμως μικρὸν, ϗ οὐχ οὕτω διαφανῆ, ὡς ὁ κρύσταλος. Πλησίον δὲ αὐτῆς ἐστί τι Μοναστήριον βουλγαρικὸν, ἐπονομαζόμενον Ἀκτσέκκλησε, ἀπὸ τῆς παρακειμένης αὐτῷ χώρας.

§. κζ'. Κλεισοῦρα, ἢ Πρασαδὶν Δερβέντι· χώρα ϗ αὕτη Φιλιππουπόλεως ἕως πεντακοσίων οἰκιῶν, κειμένη εἰς τὴν αὐτὴν ὑπώρειαν τοῦ Αἵμου, ἢ ἐν τῷ ὄρει Αἵμῳ, πλησίον τινὸς σφακτηρίας, ἢ στενωποῦ τοῦ αὐτοῦ ὄρους· ϗ ἀπέχει τῆς μὲν Φιλιππουπόλεως ἕως ὡρῶν δεκατεσσάρων, τῆς δὲ Ἀκτσέκκλησε ἕως πέντε ὡρῶν· συνορεύει δὲ ϗ μετὰ τῆς Σλατήτσας, ἧς ϗ ἀπέχει ἕως τριῶν, ἢ τεσσάρων ὡρῶν· Χριστιανοὶ μόνον ϗ ἐν ταύτῃ οἰκοῦσι, τὴν ποιμενικὴν οἱ πλείους μετερχόμενοι.

НБ ОНУ імені І.І. Мечникова

§. κη΄. Κοπρισίτσα, ἢ Ἀβράδαλάνι, χώρα ϗ αὐτὴ Φιλιππουπόλεως, ἢ κώμη ἕως χιλίων οἰκιῶν, τὴν προβατευτικὴν ϗ οὗτοι μετερχόμενοι· κεῖται δὲ ἡ χώρα πρὸς τὴν δυτικὴν πλευρὰν τοῦ ὄρους Αἵμου, μέση οὖσα δύω ὡρῶν· ὡς γὰρ ἀπὸ τῆς βορείου πλευρᾶς τοῦ ὄρους Αἵμου, μεταξὺ δηλαδὴ Αἵμου, ϗ Φιλιππουπόλεως, ἔστι τις βουνὸς Καρατσᾶ Δάγ, ὡς ἔφημεν, (§. κε΄.) οὕτω ϗ ἀπὸ τῆς δυτικῆς πλευρᾶς τοῦ Αἵμου ἐστί τι ὄρος ὑψηλὸν ἱκανῶς, μέσον Αἵμου, ϗ Φιλιππουπόλεως, ϗ Παζαρτσικίου κείμενον, ἀρχόμενον ἀπὸ τῆς Κοπρισίτσας ἐγγὺς, ϗ καταλῆγον ἕως τοῦ ποταμοῦ Ἕβρου· Ὅθεν ϗ καλεῖται ὑπὸ τῶν Βουλγάρων Σρέτ Γλορά, ἤγουν μέσον ὄρος· ἀπέχει δὲ ἡ Κοπρίσιτσα τῆς μὲν Κλεισούρας δύω ὡρῶν διάστημα πρὸς νότον, τῆς δὲ Φιλιππουπόλεως πρὸς βορρᾶν, ϗ δύσιν μικρὸν, ἢ μεταξὺ βορρᾶ, καὶ δύσεως ὡρῶν δώδεκα.

§. κθ΄. Λίτσα Ἰσάρ· ἀπὸ τῆς Κοπρισίτσας εἰς Φιλιππούπολιν ἐρχομένου τινὸς ἕως τεσσάρων ὡρῶν διάστημα, διαβαίνοντος, φημὶ, τὸ μέσον ὄρος, ἔστι τι πόλισμα ϗ τεῖχος, ἤ-

НБ ОНУ імені І.І. Мечникова

γῆν κάστρον περὶ αὐτὸ παλαιόν· ἐρίπειον ὅμως τανῦν, ἀπέχον τῆς Φιλιππουπόλεως κατ' εὐθεῖαν πρὸς βορρᾶν ἕως ὡρῶν ὀκτώ· καλεῖται δὲ ὑπὸ τῶν Τούρκων Λίτσα διὰ τὰ ἐν αὐτῷ πάμπολλα θερμὰ ὕδατα· καὶ οἱ ἐνοικοῦντες πάντες εἰσὶ Τοῦρκοι· ἐντὸς δὲ τοῦ τείχους, καὶ ἔξωθέν εἰσι λουτρὰ τῶν θερμῶν ὑδάτων ἱκανά τε καὶ εὐμεγέθη, λιθόκτιστα, τὰ πάντα καὶ τὰ πλείω μετὰ θόλων, καὶ εἰς κάλλος πεποιημένα· καὶ εἰς μέρη τοσοῦτον θερμά εἰσι τὰ ὕδατα, ὥστε χεῖρα οὐκ ἐπιδέχονται. (α)

§. λ'. Πλησίον τῶν Θερμῶν, ἤτοι τῶν Λιτσῶν πρὸς Φιλιππούπολιν ἐρχομένου τινὸς, εἰσὶ πέντε, ἢ ἓξ χωρία, τὰ μὲν ὑπὸ Παυλικιάνων μόνον οἰκούμενα, τὰ δὲ εἰσιν ἀναμε-

---

(α) Τίνος ἐστὶ κτίσμα τὸ τεῖχος τῆς Λίτσα Ἰσὰρ ἀγνοεῖται τὸ βέβαιον· πιθανὸν ὅμως, ὅτι ἐκτίσθη ὑπὸ Ἰουστινιανοῦ Αὐτοκράτορος Κωνσταντινουπόλεως· ὅς τις διὰ πολλῶν φρουρίων ὠχύρωσεν ὅλα τὰ μέρη τῆς Θράκης διὰ τὰς συνεχεῖς ἐπιδρομὰς τῶν Γότθων, καὶ ἄλλων τινῶν ἐπέκεινα τοῦ Δουνάβεως οἰκούντων.

μιγμένα ὑπὸ Παυλικιάνων, ϗ ἀνατολικῶν Χριςιανῶν.

§. λα΄. Πανηγιϋριςα, ἢ Ὀτλὲκ Κιογὶ τȣρκιςί· χώρα τȣ̃ Παζαρτσικίȣ, ἀπέχȣσα αὐτȣ̃ μὲν τȣ̃ Παζαρτσικίȣ πρὸς ἄρκτον ἕως ἐννέα ὡρῶν, τῆς δὲ Κοπριςίτσας πρὸς δύσιν ἕως τεσσάρων ὡρῶν κατὰ τὴν δυτικὴν πλευρὰν τȣ̃ Αἵμȣ κειμένη εἰς τὴν ὑπώρειαν αὐτȣ̃ τȣ̃ ὄρȣς· ἔςι δὲ τὸ μέγεθος ἕως ἑξακοσίων οἰκιῶν, ποιμένες ἅπαντες.

§. λβ΄. Μπάνια τȣ̃ Ὀτλὲκ Κιογί· χωρίον μικρὸν ἕως δύω ὡρῶν ἐπέκεινα τȣ̃ Ὀτλὲκ Κιογὶ, εἰς τὴν ὑπώρειαν τȣ̃ μέσȣ ὄρȣς· ἔχει ϗ αὐτὸ θερμὰ ὕδατα ἱκανὰ, καί τινα λȣτρὰ τῶν θερμῶν ὑδάτων.

§. λγ΄. Καλογέροβον, ϗ τȣρκιςὶ Γκέλβερε, χωρίον τȣ̃ Παζαρτσικίȣ ἕως διακοσίων οἰκιῶν, οἱ πάντες γεωργοὶ ϗ ἀμπελȣργοί· κεῖται δὲ μέσον τȣ̃ Παζαρτσικίȣ, ϗ Ὀτλὲκ Κιογὶ, καὶ πλησίον αὐτȣ̃, ἐπὶ τȣ̃ καλȣμένȣ μέσȣ ὄρȣς·

ἐςί τι Μοναςήριον βουλγαρικὸν τῷ ὀνόματι τοῦ αὐτοῦ χωρίου ἐπονομαζόμενον.

§. λδʹ. Βέτρενα, ἢ Δερβὲντ Γενὶ Κιογὶ τουρκιςί· ὑπὸ τὴν ὑπώρειαν τοῦ Αἵμου κείμενον χωρίον ἕως τριακοσίων οἰκιῶν τὸ μέγεθος, γεωργοὶ καὶ οὗτοι καὶ ἀμπελουργοί· ἀπέχουσι δὲ τὰ Βέτρενα τοῦ μὲν Παζαρτσικίου ὥρας ἕξ, τῆς δὲ Φιλιππουπόλεως δώδεκα, καὶ ὡς τὸ Παζαρτσίκιον ἀρκτικοδυτικῶς κεῖται τῆς Φιλιππουπόλεως, οὕτω καὶ τὰ Βέτρενα τοῦ Παζαρτσικίου, καὶ ἔςι σύνορον μετὰ τῆς Ἐπαρχίας Σοφίας· ἀπὸ δὲ τῶν Βετρένων πρὸς νότον ἐρχομένου τινὸς, ἕως δύω ὡρῶν διάςημα, ἔςιν ὁ Ἕβρος ποταμὸς, ὑφ᾽ οὗ καὶ σχίζεται ὁ Αἷμος ἀπὸ τῆς Ῥοδόπης, ὡς εἴπομεν (§. ηʹ.) καὶ λαμβάνει τέλος ἕως τούτου τοῦ χωρίου.

§. λεʹ. Μπέλοβον, χωρίον τι μικρὸν τοῦ Παζαρτσικίου, κείμενον παρὰ τὴν ὄχθην τοῦ Ἕβρου ποταμοῦ ἀπὸ μέρους τοῦ ὄρους Ῥοδόπης· ἐπέκεινα δὲ τούτου ἕως καὶ ἡμισείας ὥρας κεῖται ἐντὸς τοῦ αὐτοῦ ὄρους ἑτερόν τι χωρίον, μέγα Μπέλοβον καλούμενον· ἐν ᾧ κατασκευάζουσι

НБ ОНУ імені І.І. Мечникова

κλεῖδας τεχνικὰς ἐξ ὀρειχάλκου, δηλαδὴ προύτζου, ϗ ἐκ σιδήρου· ἔστι δὲ τὸ Μπέλοβον σύνορον μετὰ τῆς Ἐπαρχίας Σαμακοβίου, ϗ ὁδὸς ἀπάγουσα εἰς Σαμακόβιον.

§. λς΄. Τσέπενα, ὡς Τοπαρχία χωριστὴ, ὑποτελὴς ὅμως εἰς Παζαρτσίκι, περιέχουσα ἑπτὰ χωρία πλησίον ἀλλήλων κείμενα, ὧν τὰ ἓξ εἰσὶ τουρκικὰ, ϗ ἓν μόνον βουλγαρικὸν, Καμινίτσα λεγόμενον, ἕως ὀγδοήκοντα οἰκιῶν τὸ μέγεθος· κεῖνται δὲ τὰ Τσέπενα ἐντὸς τοῦ ὄρους, ἐπέκεινα τοῦ μεγάλου Μπελόβου ἕως τεσσάρων ὡρῶν πρὸς λιβόνοτον, ἤγουν μέσον νότου ϗ δύσεως· ἴσως τὰ Τσέπενά εἰσι τὸ μέρος ἐν ᾧ τελειοῦται τὸ ὄρος ὁ Ὄρβηλος, ϗ ἄρχεται ἡ Ῥοδόπη· ἔχει δὲ ϗ ὕδατα θερμὰ πλεῖστα, ϗ δύο λουτρὰ τῶν θερμῶν ὑδάτων καλῶς ᾠκοδομημένα· ἐν τούτοις τοῖς χωρίοις φύεται μάλιστα λῖνον, τὸ κοινῶς λινάριον· εἰς τὰ Τσέπενα τὸ πάλαι ἦν φρούριόν τι ὀχυρὸν, ὡς λέγει ἡ Βυζαντὶς, τανῦν δὲ σώζονται αὐτοῦ τινα ἐρείπια· ἀπὸ τῶν Τσεπένων κατὰ νότον τις πορευόμενος ἕως ἑπτὰ, ἢ ὀκτὼ ὡρῶν διάστημα, φθάνει εἴς τι χωρίον τουρκι-

НБ ОНУ Мечникова

κὸν καλȣ́μενον Δοσπάτι, καὶ ἴσως τȣ̃το τὸ χωρίον ἐστὶ τὸ σύνορον ἐν ᾧ τελειȣ̃ται ὁ Ὄρβηλος, καὶ ἄρχεται ἡ Ῥοδόπη.

§. λζ΄. Μπατάκι, χωρίον καὶ τȣ̃το τȣ̃ Παζαρτσικίȣ ἕως ἑκατὸν οἰκιῶν, ἀπέχον τȣ̃ Παζαρτσικίȣ ἕως ἓξ ὡρῶν πρὸς δύσιν, ἢ μᾶλλον πρὸς λίβα, ἤγȣν μικρὸν πρὸς νότον ἀποκλινον· ἐν τȣ́τῳ τῷ χωρίῳ εἰσὶ πριστήρια ἱκανὰ, δι᾽ ὧν πρίζȣσι τὰς σανίδας· κεῖται δὲ τὸ χωρίον εἰς τȣ̀ς πρόποδας τȣ̃ ὄρȣς Ῥοδόπης, ἢ ἐντὸς τȣ̃ ὄρȣς μικρὸν, μεταξὺ τινος ποταμȣ̃· ὃς ἐντεῦθεν κατέρχεται εἰς Περιστεράν. τὸ Μπατάκι ἐστὶν ἡ μέση καὶ εὐθεῖα ὁδὸς, ἡ ἄγȣσα εἰς Σέῤῥας.

§. λη΄. Περιστερὰ, ἢ Πέστερα, κώμη τȣ̃ Παζαρτσικίȣ ἕως ἑξακοσίων οἰκιῶν τὸ μέγεθος, ὧν τὰ δύο τρίτα εἰσὶ Χριστιανοὶ, καὶ οἱ λοιποὶ Τȣ̃ρκοι· κεῖται δὲ ἡ Περιστερὰ εἰς τὴν ὑπώρειαν τῆς Ῥοδόπης, ἀπέχȣσα τȣ̃ μὲν Μπατακίȣ ὥρας δύο, τȣ̃ δὲ Παζαρτσικίȣ ὥρας τέσσαρας· ἐν ταύτῃ εἰσὶ μέτοικοι ἱκανοὶ ἀπὸ Βοσκοπόλεως· εἰσὶ δ᾽ ἐν αὐτῇ πριστήρια ἱκανὰ

σανίδων, ϗ σιδηρομεταλλεῖα, ἤτοι σαμακόβια· οἱ δὲ πλείους εἰσὶ βυρσοδέψαι, ἐργαζόμενοι ϗ βάπτοντες τὰ δέρματα.

§. λθ΄. Μπατκούνιον, πόλις ποτὲ μεγάλη ϗ μητρόπολις τῆς Τοπαρχίας Παζαρτσικίου, ἀπέχουσα πρὸς δύσιν τοῦ Παζαρτσικίου ἐγγὺς δύω ὡρῶν, νῦν δὲ χωρίον μικρόν· ἔστι δὲ παρ᾽ αὐτῷ τῷ χωρίῳ κείμενόν τι Μοναστήριον ἐκ τοῦ αὐτοῦ ὀνόματος τοῦ χωρίου ἐπονομαζόμενον.

§. μ΄. Παζαρτσίκιον, Πόλις μὲν ὑστερογενής, νῦν δὲ πρωτεύουσα τῆς Τοπαρχίας ταύτης ἁπάσης, ἀπέχουσα τῆς Φιλιππουπόλεως ἀρκτικοδυτικῶς, ὡς εἴπομεν (§. λδ΄.) ὥρας ἓξ παρὰ τὸν Ἕβρον ποταμὸν, ὅστις ῥέει ἀπὸ τῆς νοτίου πλευρᾶς τῆς πόλεως· ἔστι δὲ ἡ πόλις πᾶσα τετειχισμένη, ἐκ πλίνθων ἔχουσα τὸ περίφραγμα, ϗ περιέχουσα ἕως τεσσάρων, ἢ πέντε χιλιάδων οἰκίας, ὧν τὰ δύο τρίτα Τοῦρκοι, οἱ δὲ λοιποὶ Χριστιανοί· εἰσὶ δὲ καί τινες Ἀρμένιοι, ϗ Ἑβραῖοι. Ἐν ταύτῃ γίνεται ἐμπόριον ἱκανὸν παντὸς εἴδους πραγματειῶν, μάλιστα δὲ τῶν μαλλίνων ὑφασμά-

НБ ОНУ імені І.І. Мечникова

των, ἤτοι τῶν γρύζων, ὧν γίνεται ἀγορὰ κατὰ πᾶσαν ἑβδομάδα· ἐξαιρέτως δὲ κατὰ τὸν Ἰούλιον μῆνα ὅλον, καὶ ἕως τῆς δεκάτης πέμπτης Αὐγούστου, ἤγουν ἀπὸ τῆς ἑορτῆς τῶν ἁγίων Ἀποστόλων ἕως τῆς κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου· (διότι τοσοῦτον χρόνον διαμένει ἡ πανήγυρις, ἡ καλουμένη Μαράσια.) ἔτι δὲ καὶ σιδήρου, ὃν μεταφέρουσιν ἐκ τῶν πλησιοχώρων σιδηρομεταλλείων, ἤγουν Σαμακοβίων, καὶ πωλοῦσιν ἐν τῇ πανηγύρει· ἔστι δὲ ὁ τόπος εὔφορος παντὸς εἴδους καρπῶν, ἀλλ' ἡ ὄρυζά ἐστι τὸ κυριώτερον προϊὸν τοῦ τόπου, ἧς γίνεται ἐξαγωγὴ καὶ εἰς πλεῖστα ἄλλα μέρη· εἰσὶ δὲ καὶ ἄλλα ἱκανὰ χωρία τῆς Τοπαρχίας Παζαρτσικίου, τὰ μὲν ὑπὸ Τούρκων μόνον οἰκούμενα, τὰ δὲ ὑπὸ Χριστιανῶν· τινὰ δὲ ἀναμεμιγμένα ἐκ τούτων τῶν δύω γενῶν, τῶν Τούρκων, ὡς καὶ ἐν τῇ πόλει, τὸ πλεῖστον τοῦ ἀριθμοῦ ἐχόντων· τὰ πάντα δέ εἰσιν ἕως ἑκατὸν ἐξήκοντα.

§. μα΄. Κρίτσιμα, χώρα τῆς Τοπαρχίας Φιλιππουπόλεως, ἀπέχουσα ταύτης πρὸς λίβα (§. λζ΄.) ἕως ὡρῶν πέντε καὶ ἡμισείας, τοῦ

НБ ОНУ імені І.І. Мечникова

δὲ Παζαρτσικίȣ πρὸς νότον ἕως ὡρῶν τριῶν καί τι πρός· κεῖται δὲ ἡ χώρα εἰς τὴν ὑπώρειαν τȣ̃ ὄρȣς Ῥοδόπης, διῃρημένη εἰς δύο ἀπό τινος ποταμȣ̃ πάνυ ὁρμητικȣ̃, τῷ αὐτῷ ὀνόματι κἀκείνȣ καλȣμένȣ, ἤγȣν Κρίτσιμα.

§. μϐ'. Ἄνωθεν τῶν Κριτσίμων πρὸς δεξιὰν τȣ̃ ποταμȣ̃ ἐν τῷ αὐτῷ ὄρει κεῖνται δύο Μοναστήρια, οἰκοδομαὶ παλαιαὶ, τὸ μὲν τῶν ἁγίων Ἀναργύρων, τὸ δὲ τῶν Εἰσοδίων τῆς Θεοτόκȣ, ἕως μιᾶς ὥρας τὸ ἓν ἀπὸ τȣ̃ ἄλλȣ ἀπέχοντα, καὶ τὰ δύο δὲ τῷ αὐτῷ ὀνόματι τῶν Κριτσίμων ἐπονομαζόμενα· καὶ ἐν τῷ μεταξὺ αὐτῶν τῶν Μοναστηρίων εἰσὶ λείψανα παλαιῶν οἰκοδομῶν ἱκανὰ, οἷον Ἐκκλησιῶν καὶ ἄλλων (α).

---

(α) Πλησίον τȣ̃ κατωτέρȣ Μοναστηρίȣ τῶν ἁγίων Ἀναργύρων, ἐκ τȣ̃ αὐτȣ̃ ὄρȣς ἐξέρχεταί τις ποταμὸς μικρὸς, καλȣ́μενος Δρογοβίτης· καὶ ἴσως ἐκ τȣ́τȣ τȣ̃ ποταμȣ̃ φημίζεται ὁ Φιλιππȣπόλεως Ἔξαρχος Θρᾴκης Δρογοβιτίας.

§. μγ΄. Περοσίτσα, χωρίον τῆς Φιλιππȣπόλεως εἰς τὴν αὐτὴν σειρὰν τȣ̃ ὄρȣς κείμενον, ϗ ἀπέχον τῶν μὲν Κριτσίμων πρὸς ἀνατολὰς ἕως μιᾶς ὥρας καί τι πρὸς, τῆς δὲ Φιλιππȣπόλεως πρὸς λίβα (§. λζ΄.) ἕως ὡρῶν τεσσάρων καί τι πρός· ȣ̃ πλησίον ἐπί τινος βȣνȣ̃ ἔκειτό τι Μοναστήριον τῶν ἁγίων Θεοδώρων, τῷ αὐτῷ ὀνόματι τȣ̃ χωρίȣ ἐπονομαζόμενον, νῦν δέ ἐστι κεκαυμένον ϗ ἐρείπιον.

§. μδ΄. Πριστίτσα, ἢ Πραστοβίτσα, ϗ τȣρκιστὶ Δερετσίκιογι· χώρα ἱκανὴ τὸ πάλαι εἰς τὴν αὐτὴν σειρὰν τȣ̃ ὄρȣς Ῥοδόπης, ἕως ὥρας μιᾶς ἀπέχȣσα τῆς Περοσίτσας, ἀμπελȣργοὶ πάντες.

§. με΄. Ἀντικρὺ τȣ́των τῶν δύω χωρίων κάτω εἰς τὸ πεδίον, ἔστι τι χωρίον Παζȣ̃σα καλȣ́μενον, ϗ παρ᾽ αὐτῷ τις Ἐκκλησία μεγίστη λιθόκτιστος, παλαιὰ οἰκοδομὴ, νῦν δὲ ἐρείπιον.

§. μϛ΄. Δερμένδερε, κώμη τὸ πάλαι ἱκανὴ, νῦν δὲ ἑκατὸν οἰκιῶν, εἰς τὴν αὐτὴν τȣ̃ ὄρȣς

σειρὰν κειμένη· ἐν ᾗ εἰσιν ὑδρόμυλοι πλεῖςοι, ϗ ὅλμοι, τȣρκιςὶ δίγκια, διʼ ὕδατος κινȣ́μενα, ϗ λεπίζοντα τὴν ὄρυζαν· οἱ κάτοικοι ταύτης εἰσὶ Τȣ̃ρκοι, ϗ Χριςιανοί· ἀπέχει δὲ τȣ̃ μὲν Δερετσικίȣ ὑπὲρ μίαν ὥραν, τῆς δὲ Φιλιππȣπόλεως ἕως δύω ϗ ἡμισείας.

§. μζʹ. Μάρκοβον, χωρίον εἰς τȣ̀ς πρόποδας τȣ̃ αὐτȣ̃ ὄρȣς κείμενον, δύο ὥρας ἀπέχον τῆς Φιλιππȣπόλεως κατʼ εὐθεῖαν πρὸς νότον. ἔξωθεν τȣ́τȣ τȣ̃ χωρίȣ ἐςί τις ὑδραγωγὸς μέγας, οἰκοδομὴ παλαιὰ, τȣρκιςὶ Μαγαρᾶς λεγόμενος· ὅθεν μετεφέρετο πάλαι τὸ ὕδωρ εἰς τὴν Φιλιππȣ́πολιν, ὡς εἴπομεν· (§. ιʹ.) ἅπας δὲ ὁ τόπος τȣ́τȣ τȣ̃ χωρίȣ, ὁμοίως ϗ ὅλη ἡ ὑπώρεια τȣ̃ ὄρȣς Ῥοδόπης ἐςὶν ἀμπελόφυτος, ϗ ὀλίγη ἡ σιτοφορία.

§. μηʹ. Μπέλα Στίτσα, χωρίον μικρὸν, ἢ ἀγρὸς, ἕως εἴκοσι λεπτῶν πρὸς ἀνατολὰς τȣ̃ Μαρκόβȣ κείμενον εἰς τȣ̀ς πρόποδας τȣ̃ αὐτȣ̃ ὄρȣς· ὅπερ μεθερμηνεύεται, ὡς εἴπομεν (§. ηʹ.) ἀγαθὴ νίκη, ϗ ἴσως αὕτη ποτὲ ἦν ἡ ἐπισκοπὴ Ἀγαθονίκεια· ἔχει δὲ τὸ χωρίον πύρ-

γόν τινα θαυμάσιον τῶτε ὕψει ϗ κάλλει ϗ ὀχυρότητι· πλησίον δὲ αὐτȣ̃ τȣ̃ χωρίȣ ἐπὶ τȣ̃ αὐτȣ̃ ὄρȣς κεῖται Μοναςήριόν τι τȣ̃ ἁγίȣ Γεωργίȣ ἐπονομαζόμενον Μπελαςίτσας ἐκ τȣ̃ παρακειμένȣ αὐτῷ χωρίȣ.

§. μβʹ. Κȣ́κλαινα, χώρα ἕως διακοσίων οἰκιῶν τὰ νῦν τὸ μέγεθος μόλις, εἰς τὴν αὐτὴν ὑπώρειαν τȣ̃ ὄρȣς κειμένη, ϗ ἀπέχȣσα τῆς Φιλιππȣπόλεως ἐγγὺς τριῶν ὡρῶν διάςημα· ἄνωθεν ταύτης τῆς χώρας ἕως ἡμισείας ὥρας ἐπὶ τȣ̃ αὐτȣ̃ ὄρȣς ἐςί τι Μοναςήριον τῶν ἁγίων Ἀναργύρων, τῷ ὀνόματι τῆς χώρας ἐπονομαζόμενον· ȣ̃ ἐν τῇ μάνδρᾳ, ὡς εἴπομεν (§. ιϐʹ.) ἐςί τις λίθος μαρμάρειος ἔχων γλυπτὴν τὴν εἰκόνα τȣ̃ Ἡρακλέως προσπαλαίοντος λέοντι, ἔργον ἀνάγλυπτον, ἀλλὰ τεχνικώτατον.

§. νʹ. Βοδηνὰ, δύω χωρία πλησίον ἀλλήλων κείμενα εἰς τὴν αὐτὴν ὑπώρειαν, τὸ μὲν κάτωθι ὑπὸ Τȣ́ρκων οἰκȣ́μενον, τὸ δ' ἄνω ὑπὸ Χριςιανῶν: τὰ Βοδηνά ποτε ἦν ἄςυ, ἤγȣν κάςρον περιτετειχισμένον, ὡς διαλαμβάνει

τὸ τυπικὸν τȣ̃ Μοναςηρίȣ Βατσκόβȣ, ϗ ὑποτελὲς τῷ αὐτῷ Μοναςηρίῳ· νῦν δὲ ȣ̓δὲ σημεῖον τȣ̃ τείχȣς καταφαίνεται· ἐγγὺς τȣ́των τῶν Βοδηνῶν, ϗ μάλιςα τȣ̃ ἄνωθι, ἔκειτό τι Μοναςήριον τῆς ἁγίας Παρασκευῆς· τανῦν δὲ κεκαυμένον ϗ ἐρείπιον ἐκ τῆς τῶν λῃςῶν καταδρομῆς.

§. να΄. Στενήμαχος, κωμόπολις ϗ αὕτη Φιλιππȣπόλεως μεγίςη, διῃρημένη ἔκ τινος ποταμȣ̃ εὐμεγέθȣς εἰς δύο μέρη ἀρκτικὸν, καὶ νότιον· ϗ τὸ μὲν ἀρκτικὸν αὐτῆς μέρος καλεῖται κυρίως Στενήμαχος, τὸ δὲ νότιον ὀνομάζεται Ἀμπέλινος· πλησίον τȣ́των, ἢ ὀρθότερον εἰπεῖν, συνεχόμενόν ἐςι τῇ χώρᾳ Ἀμπελίνῳ, ϗ ἕτερόν τι χωρίον Τσιπροχῶρι καλȣ́μενον, ἐν ᾧ εἰσί τινες Τȣ̃ρκοι, οἱ δὲ λοιποὶ κάτοικοι ἁπάσης τῆς κωμοπόλεώς εἰσι Χριςιανοί· αὕτη ἡ κωμόπολις, πρὶν ἢ κατακαῇ ὑπὸ τῶν κλεπτῶν, εἶχε τὰ πρωτεῖα εἰς τὸ κάλλος ἁπασῶν τῶν κωμῶν, ϗ χωρῶν τῆς Φιλιππȣπόλεως· ϗ τανῦν ὅμως, καί τοι ἀπερίττως λίαν ἀνακτισθεῖσα, ȣ̓ τυχȣ̃σαν ἔχει τὴν καλλονὴν διὰ τὴν θέσιν τȣ̃ τόπȣ· διότι ἐν τῷ τέλει τῆς

НБ ОНУ імені І.І. Мечникова

διασφάγος, δηλαδὴ τȣ̃ σχίσματος κεῖται τȣ̃ ὄρȣς· αἱ δ' ἐμπεριεχόμεναι αὐτῇ τρεῖς χῶραι φαίνονται ὡς ἑϛία τρίπȣς, ϗ ἐν αὐτῇ τὰ ὕδατα ἔνθεν κἀκεῖθεν μεταπηδῶντα, ϗ οἱονεὶ χωρὶς πυρὸς καχλάζοντα· εἰσὶ δ' ἐν αὐτῇ ȣ̓κ ὀλίγα σημεῖα παλαιῶν οἰκοδομῶν, καί τινες Ἐκκλησίαι σώζονται λιθόκτιϛοι μετὰ θόλȣ, οἷον ἡ φανερȣμένη Παναγία εἰς Ἀμπέλινον, οἱ Ταξιάρχαι, ϗ ὁ Πρόδρομος εἰς Στενήμαχον· νέαι δὲ Ἐκκλησίαι μικραί τε, ϗ μεγάλαι ἐντὸς τῆς κωμοπόλεως ϗ περὶ αὐτὴν εἰσι πάμπολλαι· καὶ ὑδρόμυλοί εἰσιν ȣ̓κ ὀλίγοι, ϗ ἐλαιοτριβεῖα ἐξάγοντα τὸ σησαμοέλαιον, ϗ τεχνȣργεῖα διάφορα· διὸ ϗ συνίϛαται κατὰ πᾶσαν ἑβδομάδα ἀγορὰ ἀπὸ τῶν πέριξ χωρίων· οἱ πλείȣς δέ εἰσιν ἀμπελȣργοί. Ἡ Στενήμαχος ἀπέχει τῆς Φιλιππȣπόλεως πρὸς εὐρόνοτον, μέσον δηλαδὴ ἀνατολῆς, ϗ νότȣ, ἕως ὡρῶν τριῶν ϗ ἡμισείας· ϗ ἔϛιν αὐτή τε ϗ τὰ πέριξ αὐτῆς χωρία, ὡς φαίνεται, ἀποικία τις ἑλληνική· διότι μεταχειρίζονται λίαν τῇ ἀφαιρέσει, ϗ συγκοπῇ τῶν λέξεων· ἐν πολλοῖς δὲ ϗ τῇ συναλοιφῇ ὁμȣ̃ χρῶνται· οἷον, τὸ ἰδικόν μȣ, δκὸμ λέγοντες.



НБ ОНУ імені І.І. Мечникова

§. νβ'. Παναγία τȣ̃ Καλέ· ἄνωθεν τῆς Στενημάχȣ ἕως ἡμισείας ὥρας κατὰ τὸ αὐτὸ σχίσμα τȣ̃ ὄρȣς, ἐςί τις οἰκοδομὴ παλαιὰ λιθόκτιςος, ὡς Μοναςήριον φαινόμενον, ἔρημον τανῦν ϗ ἀκατοίκητον· περιέχει δὲ ϗ μίαν Ἐκκλησίαν τῆς Θεοτόκȣ ὁμοίως λιθόκτιςον· διὸ ϗ καλεῖται Παναγία τȣ̃ Καλέ· τὸ παλαιὸν ὅμως ἦν ἄςυ, ἤγȣν κάςρον, ϗ παρ' αὐτῷ χωρίον τι καλȣ́μενον Πετριτσός· ὅθεν καὶ τὸ Μοναςήριον Βατσκόβȣ ἐπωνομάζετο πρότερον Παναγίας τῆς Πετριτσονιτίσσης, ὡς διαλαμβάνει τὸ τυπικὸν τȣ̃ αὐτȣ̃ Μοναςηρίȣ· ἀπὸ τῆς Παναγίας τȣ̃ Καλὲ δύω ὡρῶν ἐπέκεινά ἐςι τὸ Μοναςήριον Βάτσκοβον· ἀλλ' ἡ ὁδὸς πάνυ ἀπόκρημνος.

§. νγ'. Βάτσκοβον, χωρίον τι μικρὸν εἰς τὴν νότιον πλευρὰν τȣ̃ σχίσματος τȣ̃ ὄρȣς κείμενον· ϗ πλησίον αὐτȣ̃ κεῖται Μοναςήριόν τι ςαυροπηγιακὸν μέγα ϗ περίφημον, τιμώμενον ἐπ' ὀνόματι τῆς κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκȣ τῆς Πετριτσονιτίσσης· νῦν δὲ ἐξακȣ́εται Μοναςήριον Βατσκόβȣ, διὰ τὸ παρακείμενον αὐτῷ χωρίον Βάτσκοβον· κεῖται δὲ

НБ ОНУ імені І.І. Мечникова

τὸ Μοναςήριον ἐν τόπῳ πάνυ ὡραίῳ ϗ εὐρυχώρῳ παρὰ τὸν ποταμὸν, βουνοῖς ὑψηλοῖς πάντοθεν περικυκλώμενον, ϗ ἀπέχον τῆς Στενημάχου ἕως ὡρῶν δύω ϗ ἡμισείας μεταξὺ δυσμῶν ϗ νότου κατὰ τὸ αὐτὸ σχίσμα τοῦ ὄρους ϗ εἰς τὸν αὐτὸν ποταμόν· ἔςι δὲ τὸ Μοναςήριον κτίσμα Γρηγορίου τοῦ Πακουριάνου (περὶ οὗ ἀναφέρει ϗ ἡ Ἄννα Κομνηνὴ) ἐξ Ἰβηρίας ἕλκοντος τὸ γένος, τῶν λίαν ἐπιφανῶν, ϗ ἐν τιμῇ ὄντος μεγίςῃ παρὰ τῷ ἀοιδίμῳ ἐν βασιλεῦσιν Ἀλεξίῳ τῷ Κομνηνῷ· διὸ ϗ ἐτιμήθη ὑπ' αὐτοῦ Σεβαςὸς ϗ μέγας Δομέςικος τῆς δύσεως· ἔτος ἀφ' οὗ δι ἐπιταγῆς τοῦ αὐτοῦ βασιλέως κατεπολέμησε ϗ κατετρόπωσε τοὺς Πατσινάκας (α), ἐπιςρέψας ἐκεῖθεν νικητὴς, παρῃτήθη τοῦ λοιποῦ τῆς ςρατηγίας, ϗ ἔκτισε τὸ εἰρημένον Μοναςήριον ἐν ἔτει ἀπὸ μὲν κτίσεως κόσμου ςφϙβ΄. ἀπὸ δὲ Χριςοῦ γεννήσεως αϙδ΄. ἰνδικτιῶνος ζ΄. κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ· ἐν ᾧ ϗ ἐμό-

---

(α) Πατσινάκαι ἐκαλοῦντο τὸ πάλαι οἱ βασιλεῖς τῆς Βλαχίας ϗ Μολδαβίας.

НБ ОНУ імені І. І. Мечникова

ἤνασεν αὐτός τε ϗ πολλοὶ τῶν ὑπ' αὐτὸν στρα-
τιωτῶν, ϗ ἐπροίκισεν αὐτὸ πολλοῖς ἀναθή-
μασι, δȣ̀ς ὑπὸ τὴν ἐξȣσίαν αὐτȣ̃ τȣ̃ Μοναστηρίȣ
διὰ χρυσοβέλλων βασιλικῶν ἀπὸ Στενημάχȣ
ἕως Ξάνθης, ϗ Περιθεωρίȣ πάντας τȣ̀ς ἐμπεριε-
χομένȣς τόπȣς ϗ χώρας· ἔτι δὲ ϗ ἐν Σέῤῥαις
τινὰ χωρία, καί τινα Καισαρόπολιν καλȣμέ-
νην μετὰ τῆς λίμνης, ϗ τῶν ὀψαριοτοπίων αὐ-
τῆς· ϗ ἐν Θεσσαλονίκῃ χωρίον τι Πριλόγ-
κιον, ϗ ἄλλα τινὰ, ὡς διαλαμβάνει τὸ τυπι-
κὸν τȣ̃ αὐτȣ̃ Μοναστηρίȣ· ἔχει δὲ τὸ Μονα-
στήριον ϗ κειμήλια ἱκανὰ ἁγίων λειψάνων, ϗ
μίαν εἰκόνα τῆς Θεοτόκȣ μεγάλην ϗ παλαιο-
τάτην, ἔσωθεν μὲν ὀρειχάλκῳ (§. λε΄.) ἔξωθεν
δὲ ἀργύρῳ ἐσκεπασμένην, ἐν ᾗ εἰσι ϗ γράμ-
ματα Ἰβηρικὰ, διαλαμβάνοντα, ὅτι ἡ εἰκὼν ἐστιν
Ἰβηρικὴ ἀπό τινος ἐκεῖσε Μοναστηρίȣ τῆς Γεωρ-
γίας (α) κατὰ τὸ Κὰρς κειμένȣ· πῶς δὲ ϗ πό-
τε μετεκομίσθη ἐκεῖθεν ἄδηλον· πλὴν ἐκ παρα-
δόσεως ἔχȣσιν, ὅτι μετὰ τὴν ἅλωσιν τȣ́των

(α) Ἡ Γεωργία λέγεται ϗ Ἰβηρία, ϗ κοινῶς Γκιȣρτσία.

НБ ОНУ імені І.І. Мечникова

τῶν μερῶν τῆς Θρᾴκης, εὑρέθη ἡ εἰκὼν ἔν τινι σπηλαίῳ, ἕως ἡμισείας ὥρας ἀπέχοντι ἀπὸ τοῦ Μοναστηρίου κατὰ τὴν νότιον πλευρὰν τοῦ σχίσματος τοῦ ὄρους, ὅπερ καλοῦσι τὴν σήμερον Κλωβίον, ὅπου ἐστὶ καί τις Ἐκκλησία τῆς Θεοτόκου ϗ παρ' αὐτῇ ἁγίασμα· ϗ κατὰ πᾶν ἔτος τῇ δευτέρᾳ τῆς διακαινησίμου, καθ' ἣν ἡμέραν λέγουσιν, ὅτι εὑρέθη ἡ εἰκὼν, λιτανεύουσι μετ' αὐτῆς ἕως ἐκεῖ εἰς τὸ ῥηθὲν Κλωβίον, ϗ ποιοῦσι λειτουργίαν ἐν τῇ παρακειμένῃ Ἐκκλησίᾳ τῆς Θεοτόκου, συντρέχοντες πολλοὶ ϗ ἀπὸ τῶν πέριξ κωμῶν, ϗ χωρίων.

§. νδ'. Παύλισκον, χώρα τῆς Φιλιππουπόλεως ἐπὶ τοῦ ὄρους κειμένη ἄνωθεν τοῦ Μοναστηρίου πρὸς λιβόνοτον (§. λς'.) κατὰ τὸν αὐτὸν ποταμὸν, ἔνθα εἰσὶ πριστήρια ἱκανὰ, ἀλλ' οἱ πλείους εἰσὶ ποιμένες· ἀπέχει δὲ τὸ Παύλισκον τοῦ μὲν Μοναστηρίου πρὸς λιβόνοτον, ὡς ἔφημεν, ὡρῶν πέντε ἐγγὺς, τοῦ δὲ Μαρκόβου πρὸς νότον ὥρας ἑπτά.

§. νε'. Τσεπελάρι, χωρίον ϗ αὐτὸ Φιλιππουπόλεως ἀπέχον τοῦ Παυλίσκου ὁμοίως πρὸς

НБ ОНУ імені І.І. Мечникова

λιβόνοτον (§. λϛ΄.) ἕως τριῶν ὡρῶν· ἄνωθεν τούτου τοῦ χωρίου ἕως δύω ὡρῶν, πηγάζει ὁ ποταμὸς τῆς Στενημάχου ἐκ τοῦ αὐτοῦ ὄρους· ϗ ἐκεῖ ἐστι τὸ σύνορον τῆς Ἐπαρχίας Φιλιππουπόλεως μετὰ τῆς Ξάνθης· ἐπέκεινα τούτου τοῦ χωρίου πρὸς δυσμὰς ἕως τριῶν ὡρῶν ἐστι ϗ ἕτερον χωρίον καλούμενον Σιρόκα Λέκκα, ϗ αὐτὸ σύνορόν ἐστι τῆς Ξάνθης.

§. νϛ΄. Τοπόλοβον, χωρίον ϗ αὐτὸ Φιλιππουπόλεως, ἀπέχον τοῦ Τσεπελαρίου πρὸς καικίαν ἄνεμον (§. ϛ΄.) ἕως πέντε ὡρῶν ἐπὶ τοῦ αὐτοῦ ὄρους κείμενον· ὅπερ εἰς τὴν ἑλληνικὴν γλῶσσαν μεθερμηνεύεται λεύκη· ϗ ἴσως αὕτη ἐστὶν ἡ ἐπισκοπὴ Λεύκη.

§. νζ΄. Ἀπὸ τῆς Λεύκης ἐὰν καταβῇς τὸ ὄρος πρὸς καικίαν (§. ϛ΄.) ὁμοίως πορευόμενος ἕως δύω, ἢ τριῶν ὡρῶν, εἰς τοὺς πρόποδας τοῦ αὐτοῦ ὄρους κεῖνται δύο χωρία καλούμενα Ἀλβανιτοχώρια μέγα ϗ μικρὸν, ἕως μιᾶς ὥρας τὸ ἓν ἀπὸ τοῦ ἄλλου ἀπέχοντα, ϗ ἀπ᾽ ἐκείνων αὖθις ἕως ὥρας μιᾶς ἕτερον χωρίον

НБ ОНУ імені І.І. Мечникова

Τσερβενὰ, ἐν οἷς οἱ πλείους εἰσὶν ἀνθρακεῖς, ἤγουν καρβουνάρηδες.

§. νη΄. Μολδάβα, χωρίον μικρὸν μέσον τῶν Τσερβενῶν ϗ τῆς Στενημάχου, κείμενον εἰς τὴν αὐτὴν ὑπώρειαν τοῦ ὄρους· ἄνωθεν δὲ αὐτοῦ τοῦ χωρίου ἐστί τι Μοναστήριον τῆς ἁγίας Παρασκευῆς, ἐπονομαζόμενον ϗ αὐτὸ Μολδάβα, ὡραῖον πάνυ διὰ τὴν τοποθεσίαν, ϗ εὐρύχωρον· ἀλλὰ ϗ ἡ ἐν αὐτῷ Ἐκκλησία νεωστὶ ἀνῳκοδομήθη εἰς ὕψος ϗ μέγεθος θαυμάσιον· κάτωθεν τούτου τοῦ Μοναστηρίου ἕως εἴκοσι λεπτῶν τῆς ὥρας ἐν τῇ ὑπωρείᾳ, πηγάζει εἰς ποταμὸς ἱκανὸς Τεσσαράκοντα βρύσεις καλούμενος.

§. νθ΄. Καρᾶ Ῥεῖζι, χώρα ϗ αὕτη Φιλιππουπόλεως ἀπέχουσα τῆς Στενημάχου πρὸς ἀνατολὰς ὑπὲρ μίαν ὥραν ϗ ἡμίσειαν· οἱ κάτοικοι αὐτῆς γεωργοί εἰσιν οἱ πλείους τῆς ὀρύζης, ὅτι ἐν αὐτῇ πρῶτον μετεκομίσθη ἀπ' Αἰγύπτου ὁ σπόρος τῆς ὀρύζης, ϗ ἐκ ταύτης μετεδόθη εἰς πᾶσαν τὴν λοιπὴν Ἐπαρχίαν· ἴσως δὲ ϗ εἰς πᾶσαν τὴν εὐρωπαϊκὴν Τουρκίαν.

НБ ОНУ імені І.І.Мечникова

§. ξ'. Παπασλὶ, χωρίον τῆς Φιλιππεπόλεως πλησίον τῦ Ἕβρε ποταμῦ, ἀπέχον τῆς μὲν Στενημάχε πρὸς καικίαν (§. ς'.) ἕως τριῶν ὡρῶν, τῆς δὲ Φιλιππεπόλεως πρὸς εὖρον, μεταξὺ δηλαδὴ ἀνατολῆς, καὶ νότε μικρὸν, ἕως ὡρῶν πέντε καὶ ἡμισείας· ἀκεςὸν δὲ τὸ χωρίον διὰ τὸ ἐν αὐτῷ μέγα, καὶ θαυμάσιον πανδοχεῖον· ὅπέρ ἐςι κτίσμα παλαιὸν λιθόκτιςον μετὰ θόλων καὶ μολυβδωτὸν, ἤτοι μολύβδῳ ἐσκεπασμένον, καὶ πρῶτον κατάλυμα τῶν ἀπὸ Φιλιππεπόλεως εἰς Ἀδριανέπολιν ἀπερχομένων ὁδοιπόρων.

§. ξα'. Δερβέντι, Γενὶ Μαχαλὲς, χωρίον τῆς Φιλιππεπόλεως ὑςερογενὲς, κείμενον κατὰ τὴν αὐτὴν ὁδὸν, τὴν ἀπάγεσαν εἰς Ἀδριανέπολιν, ἐπέκεινα τῦ χωρίε Παπασλὶ ἕως δύω ὡρῶν καὶ ἡμισείας· ἔνθα περατῦται ἡ Τοπαρχία Φιλιππεπόλεως, καὶ ἄρχεται ἡ τῦ Χάσκιογι.

§. ξβ'. Κερῦ Τσεσμὲς, χώρα τῦ Χάσκιογι, ἀπέχεσα τῦ Γενὶ Μαχαλὲ πρὸς εὖρον (§. ξ'.) ἕως ὡρῶν τριῶν· γεωργοὶ πάντες.

§. ξγ'. Χάσκιογι, πόλις ϗ Τοπαρχία ἰδιαιτέρα, περιέχȣσα ἕως τριακόσια χωρία· ὧν τὰ μὲν τȣρκικὰ δι' ὅλȣ, τὰ δὲ σύμμικτα Χριςιανοῖς, πάνυ δὲ ὀλίγα ὑπὸ Χριςιανῶν μόνον οἰκȣ́μενα· ϗ τὰ μὲν ὑπὸ τὴν Ἐπαρχίαν Φιλιππȣπόλεως τελȣ̃ντα, εἰσὶν ἕως πεντήκοντα τὸν ἀριθμὸν, τὰ δὲ λοιπὰ ὑπὸ τὴν Ἐπαρχίαν Ἀδριανȣπόλεως. Ἐν ταύτῃ τῇ πόλει ἤδη κάθηται ὁ Σατράπης Τσερμενίȣ· ἔςι δὲ ἡ πόλις κειμένη πλησίον τῆς ὑπωρείας τȣ̃ ὄρȣς Ῥοδόπης, ἀπέχȣσα τῆς Κȣρȣ̃ Τσεσμὲ πρὸς εὖρον (§. ξ'.) ὁμοίως ἕως ὡρῶν τριῶν· οἱ κάτοικοι ταύτης εἰσὶ Τȣ̃ρκοι τὰ τρία τέταρτα, ϗ τὸ ἓν τέταρτον Χριςιανοί· εὔφορος δὲ ὁ τόπος λίαν σίτȣ, ϗ ὀσπρίων παντοίȣ εἴδȣς, μάλιςα δὲ τῶν ἐρεβίνθων, ϗ νικοτιανῆς, ἤγȣν καπνȣ̃, ϗ οἴνȣ, ϗ μετάξης, ϗ σησάμȣ, ϗ ἄλλων ἱκανῶν προϊόντων.

§. ξδ'. Οὐζȣντσόβα, χώρα ϗ αὕτη Χάσκιογι ἀπέχȣσα τῆς Χάσκιογι ἕως δύω ὡρῶν πρὸς καικίαν. (§. ς'.) αὕτη κεῖται κατὰ τὴν μέσην ὁδὸν, τὴν ἀπάγȣσαν ἀπὸ Φιλιππȣπόλεως εἰς Ἀδριανȣ́πολιν· ἐξάκȣςος δέ ἐςι διὰ

НБ ОНУ імені І.І. Мечникова

τὴν πρότερον ἐν αὐτῇ συνισταμένην πανήγυριν· ἥτις ἐγίνετο κατὰ τὰς ἀρχὰς τοῦ Σεπτεμβρίου μηνός, ϗ συνήγοντο πραγματευταὶ οὐ μόνον ἀπὸ τῆς Τουρκίας, ἀλλὰ ϗ ἐκ πολλῶν μερῶν τῆς Εὐρώπης· πάλιν δὲ ἤρξατο γίνεσθαι ἡ πανήγυρις ὡς ϗ πρότερον.

§. ξε΄. Τούρναβος, χωρίον Χάσκιογι ἕως δύω ὡρῶν ϗ ἡμισείας ἐπέκεινα τῆς Οὐζουντσόβας πλησίον τοῦ Ἕβρου ποταμοῦ.

§. ξϛ΄. Ἀϊβατσίκι, χωρίον ϗ αὐτὸ Χάσκιογι ἕως ἡμισείας ὥρας ἀπέχον τῆς Τουρνάβου πρὸς νότον.

§. ξζ΄. Χαρμανλὶ, ϗ τοῦτο χωρίον τῆς Τοπαρχίας Χάσκιογι ἕως τεσσάρων ὡρῶν ἐπέκεινα τῆς Οὐζουντσόβας κείμενον κατὰ τὴν αὐτὴν ὁδὸν, τὴν ἀπάγουσαν εἰς Ἀδριανούπολιν, πλησίον τοῦ ποταμοῦ Ἕβρου, τοῦ δὲ Ἀϊβατσικίου ἕως ὥρας μιᾶς ἀπέχον· ἐξάκουστον δέ ἐστι διὰ τὸ ἐν αὐτῷ μέγιστον, ϗ λιθόκτιστον μετὰ θόλων πανδοχεῖον· τοῦτο μὲν τὸ χωρίον Χαρμανλὶ περιορίζεται εἰς τὴν Ἐπαρχίαν Ἀδρια-

НБ Огнумени І. І. Мечникова

νεπόλεως, τὸ ἐντεῦθεν ὅμως τε̃ χωρίε ἐςὶ μέρος τῆς Ἐπαρχίας Φιλιππεπόλεως· διότι ἐκ τῆς δυτικῆς πλευρᾶς αὐτε̃ τε̃ χωρίε διέρχεταί τις χείμαῤῥος, ϗ ἔςι γέφυρα, ἔνθα περατε̃ται πᾶσα ἡ Ἐπαρχία Φιλιππεπόλεως.

§. ξη΄. Ἐπειδὴ ε̃ν κ᾽ ἐγὼ τὴν περιγραφὴν τῆς Ἐπαρχίας ταύτης ἔγραψα ὅσον ἠδυνήθην, συγγνώμην ἤδη ἐξαιτε̃μαι παρὰ τῶν ἀναγινωσκόντων διὰ τὰ ἐσφαλμένα ϗ ἐλλείποντα, ϗ ε̃τω πέρας τῷ ἐγχειριδίῳ τίθημι.

НБ ОНУ імені І.І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

Τὰ ἐν τοῖς δέκα Νομίσμασι γράμματα ἐτυπώθησαν ἐνταῦθα πρὸς εὐχερεςέραν ἀνάγνωσιν· τὸ δὲ ἐν αὐτοῖς ςοιχεῖον C δηλοῖ Σ.

( ΑΥΤ. ΑΙ. ΑΔΡΙ. ΑΝΤΩΝΙΝΟC.
1 ( ΗΓΕ. ΠΟΜ. ΟΥΟΠΕΙCΚΟΥ ΦΙ-
( ΛΙΠΠΟΠΟΛΙΤΩΝ.

( ΑΥΤ. Κ. Μ. ΑΥΡ. CΕΥ. ΑΝΤΩ-
( ΝΕΙΝΟC.
2 ( ΚΟΙΝΟΝ ΘΡΑΚΩΝ ΑΛΕΞΑΝΔΡΙΑ.
( ΕΝ ΦΙΛΙΠΠΟΠΟΛΙ.
( ΠΥΘΙΑ.

( ΑΥΤ. Κ. Μ. ΑΥΡ. ΑΝΤΩΝΕΙΝΟC.
( ΜΗΤΡΟΠΟΛΕΩC ΦΙΛΙΠΠΟΠΟ-
3 ( ΛΕΩC
( ΝΕΩΚΟΡΟΥ.

( ΑΥΤ. Κ. Μ. ΑΥΡΗΛ. ΑΝΤΩΝΕΙ-
( ΝΟC CΕΒ.
4 ( ΜΗΤΡΟΠΟΛΕΩC ΦΙΛΙΠΠΟΠΟ-
( ΛΕΩC.
( ΝΕΩΚΟΡΟΥ.

5 ( ΑΥΤ.... CΕΥΗΡΟC.
( ΦΙΛΙΠΠΟΠΟΛΙΤΩΝ.

НБ ОНУ імені І.І. Мечникова

6 ( ΑΥΤ.. CΕΥΗΡΟC.
( ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

7 ( ΦΑΥCΤΕΙΝΑ CΕΒΑCΤΗ.
( ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

8 ( ΑΥ. Κ. Λ--- CΕΥΗΡ..
( ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

9 ( ΑΥΤ. Κ. Π. CΕΠΤΙ. ΓΕΤΑC.
( ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

10 ( Μ. ΑΥΡΗ. ΟΥΗΡΟC ΚΑΙCΑΡ.
( ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

НБ ОНУ імені І.І.Мечникова

## Τῶν ἐσφαλμένων διόρθωσις.

| Σελ. | Στχ. | Ἐσφαλ. | Διορθ. |
|---|---|---|---|
| 10 | 1 | ην | ἦν |
| 19 | 12 | πυρίτην | πυρῖτιν |
| — | 22 | Γεπές | Τεπές |
| 22 | 7 | Κωμνηνὴ | Κομνηνή |
| 31 | 19 | αἰγεῖα | αἴγεια |
| 39 | 1 | ἐρίπειον | ἐρείπιον |
| 43 | 17 | ων | ὧν |

Τὰ δὲ λοιπὰ διορθωσάτω ὁ εὐμενὴς ἀναγνώστης.

~~Л 11. 035~~
6121
1948
Наукова бібліотека Одеського національного університету імені І. І. Мечникова
НБ ОНУ імені І.І.Мечникова

# ΠΙΝΑΞ Β΄.

Ἐκτυπώματά τινα τῶν ἀρχαίων Νομισμάτων Φιλιππουπόλεως ἐκ τοῦ ἐν Βιέννῃ Κ. Β. Μουσείου.




Τὰ δὲ κάτωθεν δύω ἐνεχαράχθησαν, ὡς ἐκ Φιλιππουπόλεως ἐστάλησαν.




НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

Βορέας, ἢ Ἄρκτος.




Νότος, ἢ Μεσημβρία.

Δύσις

Ἀνατολή

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова